Κατὰ τὸν Πλίνιον, καὶ ἄλλους Ἱστορικοὺς εὑρίσκεται Σμάραγδος, εὑρεθεὶς ἀπὸ τινὰ Μοναχὸν δ' Ἀαρὼν, καὶ χαλκωσμάραγδος, λίθος θολὸς διεσπαρμένας φλέβας φέρων ἐκ χαλκοῦ. Κριστὰλ δὲ Μόντε ὡσὰν διαμάντιον, εὑρίσκεται ἡ φλέβα του εἰς τὸν Κάβον τῆς χρυσοχοῦ, εἰς χωρίον πάλαι Ἀλεξανδρέττα, ἢ Καλλινοῦσα λεγόμενον. Οἱ χρυσοχοὶ ἐπιτηδεύονται νὰ τὸ δένουσιν εἰς δακτυλίδια, καὶ σκολαρίκια εἰς τρόπον, ὁποῦ ὀλίγον διαφέρει ἀπὸ ἀληθινὸν διαμάντιον. Ἐκεῖ εὑρίσκονται καὶ πράσινα Κριστάλλια, τὰ λεγόμενα σμαράγδια. δι' αὐτὰ τὰ χρυσταλλοδιαμάντια οἱ κατὰ καιρὸν ἀπὸ τῆς πόρτας στελλόμενοι ἡγεμόνες τῶν τουρκῶν εἰς τὴν Νῆσον, ἐφόρτωσαν τοὺς ἐντοπίους, καὶ τοὺς ἔπερναν ἕνα βαρὺ δόσιμον. τὸ ὁποῖον διὰ προσκλαύσεως εἰς τὸν βεζύρη, ἀφέθη μὲ ὁρισμὸν τοῦ ζῶα ἰδίου, ἐπὶ τῆς Ἀρχιερατείας τοῦ Κυρίου Φιλοθέου περὶ τὸ 1750. ἔτος σχεδόν. καὶ ἔγινε προσταγὴ τινὰς πλέον νὰ μὴ τολμήσῃ νὰ σκάψῃ τὸν τόπον διὰ διαμάντια. Εἰς τὰς παραθαλασσίας τῆς Νήσου εὕρηνται καὶ Κοράλλια ἄσπρα, καὶ Κόκκινα, πλησίον μάλιστα τῆς Ἀμαθοῦντας, καὶ Ἴασπις, καὶ μετοσμάραγδον, καὶ Πυρίτης Κόνις. Μάρμαρα λευκὰ εἰς τὰ ὄρη τοῦ Κουτζαβένδη εὑγένουν ἐκλεκτὰ, καὶ ἄλλου χρώματος προσέτι, καὶ εἰς ἄλλα μέρη τῆς Νήσου διάφορα. Εὑγένει πρὸς τούτοις καὶ στίψη ἄσπρη, καὶ μαύρη. Πίσσα τῶν Πεύκων ἀρκετὴ, καὶ ριτζίνη, θεάφιον, Ἀμίαντος, ἢ κοινῶς βαμπακόπετρα, ἐκ τῆς ὁποίας οἱ Ρωμάνοι ἔκλωθαν κλωστὴν, καὶ ὕφαινον μανδήλια. εὕρηται εἰς τὸ βατικάνον τῆς Ρώμης μέρος Μανδηλίου ἐξ αὐτῆς τῆς Πέτρας μέχρι τοῦ νῦν ἀκριβῶς φυλαττόμενον, ὡς εἶδος τὶ ἀρχαιότητος τῶν Ρωμάνων Ἰμπερατόρων. καὶ μέσα εἰς αὐτὰ ἔκαιον τὰ σώματα τῶν ἀποθανόντων Βασιλέων, καὶ Μεγιστάνων. Ἔχει φύσιν αὐτὴ ἡ Πέτρα νὰ μὴ καίεται ἀπὸ τὴν φωτίαν, ἀλλὰ νὰ μένῃ μετὰ τὸ καύσιμον ἄφθαρτος. Ὅταν βραχῇ αὐτὴ ἡ πέτρα γίνεται σκληρὰ, καὶ δὲν διακρίνεται ἀπὸ Πέτραν, ἢ ξύλον. Αὐτῆς ἡ φλέβα εὑρίσκεται εἰς τὸ πάλαι χωρίον λεγόμενον Ἀμίαντος, τὸ παρὰ τοὺς πόδας τοῦ ὄρους Τροόδου, τὰ νῦν δὲ ἔρημον.

Ὅσα διὰ τὴν Ἰατρικὴν ἐπιτήδεια.

Ἡ Τρημιντίνα, Πίσσα ἀπὸ τοὺς Τρεμίθθους. Κολοκινθίδα, Ρεοπάρπαρον, Σπάλαθρον, νερὸν τοῦ Ἀμπελίου λεγόμενον. Μυρίκιον. Λάδανος. Ἔρουγος. Σκολτζίας, Καλάμια Κυπριότικα. Σκαμουνία. Γλυκόρριζα ἐκλεκτή. Εὑρίσκετο τὸ χορτάριον, τοῦ ὁποίου ἡ ρίζα σχηματίζει ὡς δύω ὄρχεις ἀνθρώπου. μὲ αὐτὴν τὴν ρίζαν ἰατρεύουσιν οἱ χωριάται ταῖς μαχαιριαῖς. Εὑρίσκεται μία Πέτρα ἀπὸ Μάρμαρον, ἡ ὁποῖα λέγεται σμίγουσα, καὶ δένει, καὶ ἰατρεύει καταπλασσομένη τὰς πληγὰς τῶν μαχαιρίων. Ἦτον ἕνας τάφος ἐξ αὐτῆς εἰς Λευκοσίαν εἰς τοῦ Σὰν Δομενίκου τὸ Μοναστήριον. Στέφ. Λουζ. Εὑρίσκεται καὶ τὸ χόρτον Μανδραγόρα, ὁποῦ ἡ ρίζα του σχηματίζεται μετὰ ἑκατὸν χρόνους ὡς μορφὴ ἀνθρώπου. Περὶ τούτων ὁμιλεῖ ἐκτεταμένως ὁ Ρωμάνος Πλίνιος Ἱστορικός.

Ζῶα ἥμερα, καὶ πουλλία.

Ἵππους εἰς ἀγέλας, μούλους ἢ βόρδους, Γαϊδάρους, βόδια, πρόβατα εἰς πολλὰς ποσότητας, καὶ Αἶγας, καὶ χοίρους εἰς ἀγέλας προδίδει ἡ Νῆσος εἰς πλῆθος, καὶ ὀλίγα βουβάλλια. τὰ πρόβατα κάμνουσι πλατεῖαν οὐρὰν, καὶ εὐνουχιζόμενα, περισσότερον πλατύνεται, ὁποῦ δὲν δύνονται νὰ τὴν βαστάσωσιν. ὄρνιθες, παπῆρες, χῆνες, καὶ γάλους, κτ.

Ζῶα ἄγρια.

Καλοὶ διὰ τὸ φαγὶν εἶναι οἱ φασσιανοὶ, ὀλίγον ἢ οὐδετίποτε διαφέρουσιν αἱ λεγόμεναι Κυπριώτικα αὐτοχηνάραι. αἱ πέρδικες, αἱ τρυγῶνες, ἡ Κίχλαις, ἀγριοπαπύραις, πικάτζες, ἢ ξυλόκοτες, ἀγριόγηδα, ἤτοι ἀγρίμια, λαγωοὶ, ἀγριόχοιροι, ἀγριόβουδα, καὶ ἀγριογαϊδούρια μάλιστα εἰς τὰ δάση τοῦ Ἀκάμα, καὶ Καρπασίου. Ὅσα μὴ εἰς τροφὴν, ἀετοὶ, ζαγανοὶ, ἢ γεράκια, καὶ φαλκώνια. κάθε χρόνον ἐξ αὐτῶν στέλλονται εἰς Κωνσταντινούπολιν τῶν μεγάλων Τουρκῶν. ἀγρεύονται εἰς τοὺς κρημνοὺς τοῦ Ἀκρωτηρίου τῆς λεμεσοῦ, εἶναι διωρισμένοι χωρικοὶ ἐλεύθεροι ἀπὸ τὰς ἐξοδίας τοῦ τόπου καὶ βάρη, πληρώνοντες μόνον ἕνα βασιλικὸν δόσιμον ἐλαφρὸν,

δι' αὐτὸ τοῦτο νὰ ἀγρεύουσιν αὐτά. ἐστέλλοντο ὡς δῶρον καὶ ἐπὶ τῶν Βενετζιάνων εἰς Βενετίαν, καὶ Γερμανίαν πολλά. Ζῶα, καὶ θηρία βλαπτικὰ ὁ τόπος δὲν θρέφει, εἰμὴ τὴν Ἀλώπεκα, ἐξ ἧς γίνεται καλὴ γοῦννα. Ἔρχονται ἔξωθεν τῆς Νήσου κατὰ τὸν Αὔγουστον, καὶ σεπτέμβριον ἕνα πλῆθος πουλλίων μικρῶν, λεγόμενα ἀμπελοπούλλια. γίνονται πολλὰ παχεῖα, ἀγρεύονται εἰς πλῆθος μὲ τοὺς ἰξούς. Ἐστέλλοντο εἰς Βενετίαν ὑπὲρ τὰς ἑξήκοντα χιλιάδας ποτέ. Τὴν σήμερον στέλλονται εἰς πᾶσαν Πόλιν τῆς Τουρκίας, εἰς ξίδι, ἢ εἰς κρασί. Ἔχουσι μεγάλην νοστιμάδα τὰ ἔγκαιρα. Ἐπακτώνοντο τὰ στήματα ὅθεν ἀγρεύονται, καὶ ἐπὶ τῶν Ἐνετῶν, καὶ τὴν σήμερον ἐπὶ τῶν Τουρκῶν.

Ξύλα διὰ Φωτίαν.

Ἀγριελαίας πλῆθος, ἀγριοκερατίας, Κυπαρίσσους, Κέδρους, πεύκους ἡμέρους ὀλίγους, καὶ ἀγρίους ὁλόκληρα ὄρη, τρεμιθιάς, σχοίνους, σπαλάθρους, βαλανιδίας, πλατάνους, Ἀντρουκλιάς, περνικαῖς, ὁποῦ κάμνουν τὸ κόκκινον χρῶμα περνοκόκκι. Εὕρηνται καὶ τινὰ δένδρα εἰς Πάφον, τῶν ὁποίων ἡ πίσσα, καὶ ὁ φλοιὸς θυμιαζόμενος προξενεῖ εὐωδίαν. ἄλλα πολλὰ δένδρα, καὶ ξύλα ἀναρίθμητα προδίδει ὁ τόπος. ξύλα, λεγόμενα γλυκὰ τὰ εἰς Ἰταλίαν δὲν εὑρίσκονται εἰς Κύπρον, ὁμοιάζουν τῆς ἰτέας, ἢ ἀδιᾶς κοινῶς.

Περὶ Χρωμάτων.

Εἰς τὴν γῆν τῶν Καπέδων εὐγένει τὸ πράσινον χῶμα. Τὸ μαῦρον χῶμα εὐγένει εἰς τὸ μαυροδεῦνι. ἀπὸ τὰς ρίζας τὸ ριζάριον, καὶ τὸ περνοκόκκιν ἀπὸ ταῖς περνικῖς. Τὸ χόρτον χιέμενη κύτρινον. Ἡ γῆ Χαλκάνθιον, ἢ βιτριόλιον, ἀλλ' ἀμελημένον. τὸ χόρτον λεγόμενον ἀλακιχέριον, τοῦ ὁποίου ὁ σπόρος βάπτει βαθὺ πράσινον.

Τοῦ Μακαριωτάτου, καὶ Ἀοιδήμου Κυρίου Φιλοθέου Σημειώσεις περὶ τῆς τῶν Κυπρίων Ἐκκλησίας, καὶ Ἔκθεσις αὐτοῦ περὶ τῶν Προνομίων τῆς αὐτῆς. ἔτει 1740.

Κανὼν Η. τῆς Τρίτης ἐν Ἐφέσῳ Συνόδου.

Πρᾶγμα παρὰ τοὺς Ἐκκλησιαστικοὺς θεσμοὺς, καὶ τοὺς κανόνας τῶν ἁγίων Πατέρων καινοτομούμενον, καὶ τῆς πάντων ἐλευθερίας ἁπτόμενον, προσήγγειλεν ὁ θεοφιλέστατος συνεπίσκοπος ὁ Ῥηγῖνος, καὶ οἱ σὺν αὐτῷ Εὐλαβέστατοι Ἐπίσκοποι τῆς Κυπρίων Ἐπαρχίας, Ζήνων καὶ Εὐάγριος. ὅθεν ἐπειδὴ τὰ κοινὰ πάθη μείζονος δεῖται τῆς θεραπείας, ὡς καὶ μείζονα τὴν βλάβην φέροντα, καὶ μάλιστα εἰ μηδὲ ἔθος ἀρχαῖον παρηκολούθησεν, ὥστε τὸν Ἐπίσκοπον τῆς Ἀντιοχέων Πόλεως τὰς ἐν Κύπρῳ ποιεῖσθαι χειροτονίας, καθὰ διὰ τῶν λιβέλλων, καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἄνδρες, οἱ τὴν πρόσοδον τῇ ἁγίᾳ Συνόδῳ ποιησάμενοι, ἕξουσι τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, κατὰ τοὺς κανόνας τῶν ἁγίων Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων Ἐπισκόπων ποιούμενοι. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων διοικήσεων, καὶ τῶν ἁπανταχοῦ Ἐπαρχιῶν παραφυλαχθήσεται. ὥστε μηδένα τῶν θεοφιλεστάτων Ἐπισκόπων Ἐπαρχίαν ἑτέραν οὐκ οὖσαν ἄνωθεν καὶ ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτοῦ, ἤγουν τοῦ πρὸ αὐτοῦ, χεῖρα καταλαμβάνειν, ἀλλ' εἰ καί τις κατέλαβε, καὶ ὑφ' ἑαυτὸν πεποίηται, βιασάμενος ταύτην ἀποδιδόναι, ἵνα μὴ τῶν Πατέρων οἱ κανόνες παραβαίνωνται, μηδὲ ἐν Ἱερουργίας προσχήματι, ἐξουσίας τῦφος κοσμικῆς παρεισδύηται, μηδὲ λάθωμεν τὴν ἐλευθερίαν κατὰ μικρὸν ἀπολέσαντες, ἣν ἡμῖν ἐδωρήσατο τῷ ἰδίῳ αἵματι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ πάντων ἀνθρώπων ἐλευθερωτής. καὶ τὰ ἑξῆς.

Βαλσαμών.

Πρὸ τοῦ ἀποξενωθῆναι τὴν βασιλείαν τῶν Ῥωμαίων ἐκ τῆς μεγάλης Ἀντιοχείας, Δοὺξ ἐν αὐτῇ παρὰ τοῦ βασιλέως ἐπέμπετο, καὶ

οὗτος στρατηγὸν εἰς Κύπρον ἀπέστελλεν, ὡς ὑποκειμένην τῇ Ἀντιοχείᾳ, οἱ δὲ Κύπριοι Ἐπίσκοποι καθ' ἑαυτοὺς διῆγον, καὶ ἐχειροτονοῦντο. τοῦ γοῦν τότε ὄντος, ἐπιχειροῦντος, ὡς ἔοικε, χειροτονίας ποιεῖν εἰς τὰς Ἐκκλησίας τῶν Κυπρίων, προφάσει τοῦ στέλλεσθαι στρατηγὸν ἐν τῇ Νήσῳ παρὰ τοῦ Δουκὸς Ἀντιοχείας, ἀνηνέχθη τὰ περὶ τούτου τῇ ἐν τῇ Ἐφέσῳ Συνόδῳ παρὰ Κυπρίων Ἐπισκόπων, καὶ αὕτη τὴν πρόσοδον, ἤτοι τὴν προσέλευσιν δεξαμένη τὴν τούτων, ὥρισε τοὺς Κυπρίους Ἐπισκόπους κατὰ τοὺς κανόνας, καὶ τὴν ἀρχαίαν συνήθειαν δι' ἑαυτῶν χειροτονεῖσθαι, καθὼς φησὶ, τοῦτο γενήσεται, καὶ εἰς τὰς λοιπὰς διοικήσεις, καὶ Ἐπαρχίας, μὴ δυναμένου τινὸς Ἐπισκόπου ἑτέραν Ἐπαρχίαν σφετερίζεσθαι, μὴ ὑποκειμένην ἄνωθεν αὐτῷ. μᾶλλον μὲν οὖν καὶ τοὺς τοιοῦτόν τι ποιοῦντας, καὶ κατὰ βίαν, καὶ αὐθεντίαν, ἀλλοτρίαν ἐνορίαν κατασχόντας, ἀπολῦσαι αὐτὴν, ἵνα μὴ παραβαίνωνται οἱ Κανόνες, καὶ προσχήματι τῆς Ἱερουργίας, ἐξουσίας κοσμικῆς, ἤτοι κενοδοξίας τύφος εἰς τοὺς Ἀρχιερεῖς ἀναφαίνεται. Ἐξεχώρισε δὲ καὶ ἑκάστῳ τῶν Μητροπολιτῶν ἐκλαβέσθαι τὰ ἴσα τοῦ τοιούτου Κανόνος εἰς οἰκείαν ἀσφάλειαν, καὶ μηδὲ κρατεῖν ἕτερον ἔγγραφον τύπον, ἤγουν βασιλικὸν πρόσταγμα ἐναντιούμενον τῷ Κανόνι τούτῳ, παρά τινος κομιζόμενον. καὶ ἀνάγνωθι τὸν β', Κανόνα τῆς β', Συνόδου. τὸν κη', τῆς δ', Συνόδου. τὸν λ', τῆς στ', Συνόδου, καὶ τὰ ἐν αὐτοῖς. καὶ μάθοις πῶς ὑπετέθησαν αἱ ὑπὸ τὴν Ῥωμανίαν Ἐκκλησίαι ἄνευ τινῶν, τῷ θρόνῳ τῆς Κωνσταντίνου.

Ζωναρᾶς.

Ὁ τῆς Ἀντιοχέων Ἐκκλησίας Ἀρχιερεὺς, ὑφ' ἑαυτὸν εἷλκε τὰς τῶν Κυπρίων Ἐπισκόπων χειροτονίας, ὡς τάχα τῆς Κύπρου τὸ παλαιὸν τελούσης ὑπὸ τὸν Δοῦκα Ἀντιοχείας, παρὰ γὰρ τοῦ Δουκὸς Ἀντιοχείας ἐστέλλετο ἐκεῖ στρατηγός. διὰ τοῦτο προσῆλθόν τινες τῶν Κυπρίων Ἐπισκόπων τῇ Συνόδῳ ταύτῃ, λέγοντες τοῦτ' αὐτὸ καὶ δι' ἐγγράφων ἀναφέροντες, ὅτι οὐκ ἐξ ἔθους παλαιοῦ δίκαιον ἔσχεν ὁ Ἀντιοχείας, χειροτονεῖν τοὺς Ἐπισκόπους Κυπρίων. Ἐψηφήσατο οὖν ἡ Σύνοδος τὴν πρόσοδον, ἤτοι τὴν προσέλευσιν δεξαμένη τῶν Ἐ-

πισκόπων, τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον ἔχειν τοὺς τῶν Κυπρίων Ἐπισκόπους, κατὰ τοὺς Κανόνας τῶν ἁγίων Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν. Ὁ γὰρ λε΄. Κανὼν τῶν ἁγίων Ἀποστόλων, καὶ ὁ γ΄. τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, μὴ τολμᾷν τοὺς Ἐπισκόπους κελεύουσι ποιεῖσθαι χειροτονίας εἰς τὰς μὴ ὑποκειμένας αὐτοῖς Ἐπαρχίας, εἰδὲ μὴ, ἄκυρα μὲν τὰ παρ' ἐκείνων πραχθέντα εἶναι, αὐτοὺς δὲ καθαιρεῖσθαι, καὶ ὁ ϛ΄. Κανὼν, καὶ ὁ ζ΄. τῆς α΄. οἰκουμενικῆς Συνόδου, Τὰ ἀρχαῖα ἔθη, κἂν τοῖς Ἀρχιερεῦσι κρατεῖν διατάττονται. Οἷς δὲ Κανόσιν ἑπόμενοι, καὶ οἱ τῆς Συνόδου ταύτης Σεπτοὶ Πατέρες ὥρισαν, καὶ τοὺς Κυπρίων Ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν ἐν τῇ Νήσῳ Ἐπισκόπων ποιεῖν. Τοῦτο δὲ γίνεσθαι καὶ ἁπανταχοῦ, καὶ μή τινα τῶν Ἐπισκόπων σφετερίζεσθαι Ἐπαρχίαν, μὴ οὖσαν ἄνωθεν, ἤγουν ἔκπαλαι, καὶ ἀρχῆθεν ὑπ' αὐτὸν, καὶ ὑπὸ τοὺς πρὸ αὐτοῦ. καὶ τὰ ἑξῆς.

Ἀριστένητος.

Τηρείσθω τὰ ἑκάστῃ Ἐπαρχίᾳ προσόντα δίκαια, καθαρὰ, καὶ ἀβίαστα, ὁ δὲ ἀντιτείνων, καὶ τύπον ἀντικείμενον τούτοις εἰσάγων, ἀνόητος.

Καὶ ὁ ἀοίδιμος Πατριάρχης Ἱεροσολύμων κὺρ Δοσίθεος ἐν τῷ ἑαυτοῦ βιβλίῳ, τῷ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων ἀντιγραφομένῳ κεφ. κ΄. τοῦ πέμπτου τῶν τούτου βιβλίων Ἱστορεῖ ταῦτα.

Περὶ τῆς Ἀρχιεπισκοπῆς Κύπρου τῆς νέας Ἰουστινιανῆς, καὶ τῶν διαφορῶν αὐτῆς μετὰ τοῦ Ἀντιοχείας, καὶ περὶ τῆς ἅπαξ καὶ δὶς βεβαιώσεως αὐτῆς ἐν τῇ αὐτοκεφάλῳ κλήσει,

Οἱ προεστῶτες Ἐπίσκοποι τῆς ἐν Κύπρῳ Ἐκκλησίας ἐποίουν τὰς χειροτονίας τῶν ἐν τῇ Κύπρῳ Ἐπισκόπων, χειροτονούμενοι καὶ αὐτοὶ ὑπὸ τῶν Ἐπισκόπων κατὰ τὴν Ἀποστολικὴν παράδοσιν. Οἱ Πατριάρχαι ὅμως Ἀντιοχείας, διὰ τὸ πέμπειν τὸν στρατηγὸν Ἀντιοχείας ὑποστράτηγον εἰς τὴν Κύπρον, ἐζήτουν ὑποτάξαι ἑαυτοῖς τοὺς Ἐπισκόπους Κύπρου, ὅπερ ἐπειδὴ Ῥηγῖνος Κωνσταντίας, Ζήνων

Κυρηνίας, Εὐάγριος Σόλων, καὶ Σαπρίκιος Πάφου, ἀνέφερον διὰ λιβέλλου τῇ οἰκουμενικῇ γ΄. Συνόδῳ, διώρισεν ἡ Σύνοδος ἐν τῇ ζ΄. αὐτῆς πράξει ἵνα ἔχωσι τὸ ἀνεπηρέαστον, καὶ ἀβίαστον οἱ τῶν ἁγίων Ἐκκλησιῶν τῶν κατὰ τὴν Κύπρον προεστῶτες, καὶ κατὰ τοὺς Κανόνας τῶν ἁγίων Πατέρων, καὶ τὴν ἀρχαίαν συνήθειαν, δι' ἑαυτῶν τὰς χειροτονίας τῶν εὐλαβεστάτων Ἐπισκόπων ποιῶσιν. Ἐπὶ δὲ Ζήνωνος, (α) ὅτε ἐφαίνοντο οἱ Εὐτυχιανοὶ (β) εὐτυχοῦντες, ἐφάνη ὁ Ἀπόστολος Βαρνάβας σὺν τῷ Ἱερῷ Εὐαγγελίῳ τοῦ Ματθαίου τῷ βεβαιοῦντι κυρίως τὴν ἀληθινὴν τοῦ Χριστοῦ Ἀνθρωπότητα, ἐναντίον αὐτούς. Καὶ λοιπὸν Πέτρος ὁ Κναφεὺς πάλιν ἤρξατο ἐνοχλεῖν τοῖς Κυπρίοις, καὶ σπεύδειν ὑποτάξαι αὐτοὺς ἑτέρᾳ προφάσει, ὅτι δῆθεν ὑπὸ τῆς Ἀντιοχείας ἐμαθήτευσαν τὴν ὀρθόδοξον πίστιν οἱ Κύπριοι, ἐναντιούμενος ὡς αἱρεσιάρχης κἀνταῦθα καὶ τῇ ἀποφάσει τῆς γ΄. Συνόδου. Ἀλλ' ἐν τούτοις εὑρίσκετο εἰς τὴν Σαλαμῖνα Ἐπίσκοπος ὁ Ἀνθέμιτος, ὅς τις εἶδε κατ' ὄναρ τὸν Ἀπόστολον Βαρνάβαν παρακινοῦντα αὐτὸν ἀπελθεῖν εἰς Κωνσταντινούπολιν πρὸς τὸν Βασιλέα, ᾧ Ἀνθεμίτῳ ἀπεκάλυψε καὶ τὸν τόπον, ὅπου ἦν τεθαμμένος αὐτὸς ὁ Ἀπόστολος, καὶ εἶπεν αὐτῷ ἵνα σκάψῃ ὑπὸ τὴν Κερατίαν τὸ δένδρον, ὅτι ἐκεῖ εὑρίσει τὸ λείψανον αὐτοῦ, καὶ τὸ Ἱερὸν Εὐαγγέλιον τοῦ Ματθαίου εἰς τὸ στῆθος αὐτοῦ, ὃ ἰδίᾳ χειρὶ ἔγραψε. καὶ εἶπεν ἔτι αὐτῷ, ὅτε οἱ ἀντίπαλοι τῆς Κύπρου προβάλλουσί σοι, ὅτι ὁ θρόνος τῆς Ἀντιοχείας ἐστὶν Ἀποστολικὸς, εἰπὲ καὶ σὺ, ὅτι, καὶ ἡ Κύπρος

(α) Οὗτος δὲ ὁ Ζήνων ἐβασίλευσε τὸ Πρῶτον. ἔτει ἀπὸ Χριστοῦ υοδ΄. ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ τοῦ αὐτοῦ συγγραφέως φαίνεται. ἐνταῦθα εὑρίσκεις καὶ τίς ἦν ὁ κναφεὺς Πέτρος. εἰδὲ βούλει καὶ τίνι τρόπῳ, καὶ ὁσάκις τῷ τῶν Ἀντιοχέων ἐπεπήδησε θρόνῳ, καὶ ὅτι τῶν Μονοφυσιτῶν αἱρεσιάρχης, προστιθεὶς εἰς τὸ τρισάγιον, τὸ ὁ σταυρωθεὶς δι' ἡμᾶς, καὶ ὅτι τελευταῖον καθαιρεθεὶς ἐξώσθη, ἀνάγνωθι τὸν Πρῶτον καὶ Πέμπτον παράγραφον τοῦ πέμπτου κεφ. τοῦ αὐτοῦ βιβλίου.

(β) Οἱ Εὐτυχιανοὶ τῶν Μονοφυσιτῶν διαφέρουσιν, οἱ μὲν τὴν σάρκα τοῦ Χριστοῦ μὴ εἶναι ἡμῖν ὁμοούσιον. οἱ δὲ μονοφυσῖται, ὁμοούσιον μὲν λέγουσιν, [illegible] φύσιν θεότητος καὶ ἀνθρωπότητος μίαν τοῦ Χριστοῦ.

ἐστὶν Ἀποστολική, καθότι ἔχει καὶ Ἀπόστολον εἰς τὸν τόπον αὐτῆς. Ἀπῆλθεν ὁ Ἀνθέμιτος σὺν τῷ Κλήρῳ αὐτοῦ εἰς τὴν Κερατωνίαν τὸ δένδρον, ἤτοι ξυλοκερατίαν, καὶ μετὰ τὴν προσευχὴν ἔσκαψε, καὶ εὗρε σπήλαιον, καὶ ἔνδον εἰς αὐτὸ μίαν θήκην, ἐν ᾗ ἦν τοῦ Ἀποστόλου τὸ σεβάσμιον Σκῆνος, ἔχων εἰς τὸ στῆθος αὐτοῦ τὸ ἅγιον Εὐαγγέλιον τὸ κατὰ Ματθαῖον εἰς Ἑλληνικὴν γλῶσσαν γεγραμμένον, ὡς εἴπομεν ὅτι ἔγραψεν αὐτὸ ἰδίᾳ χειρὶ ὁ Βαρνάβας. ὅπερ λαβὼν ἀπῆλθεν εἰς Κωνσταντινούπολιν ὁ Ἀνθέμιτος πρὸς τὸν Βασιλέα Ζήνωνα. καὶ ὁ Ζήνων προσέταξε τῷ Ἀκακίῳ θεωρῆσαι συνοδικῶς τὴν ὑπόθεσιν. Καὶ λοιπὸν προβληθέντων τῶν δικαίων τῶν Ἀντιοχέων, ὅτι δηλαδὴ ἡ Ἀντιοχεία ἐστὶ τοῦ Πέτρου πρώτη Καθέδρα, καὶ ὅτι τοῦ χριστιανισμοῦ τὸ ὄνομα ἐξῆλθεν ἀπ' αὐτῆς, ἀπεκρίθη ὁ Ἀνθέμιτος κατὰ τὴν μάθησιν τοῦ Βαρνάβα, καὶ μάλιστα ὅτι ἡ τρίτη Σύνοδος δέδωκε τῷ Κύπρου τὴν ἐλευθερίαν, καὶ ῥητῶς ἀπὸ τοῦ θρόνου Ἀντιοχείας. Τοῦτο ἀκούσαντες οἱ ἀντίπαλοι ᾐσχύνθησαν, ἐχάρη δὲ ὁ Βασιλεύς, ὅτι γέγονε τοιοῦτον θαῦμα εἰς τὸν καιρὸν αὐτοῦ. Τὸ δὲ Ἱερὸν Εὐαγγέλιον κοσμήσας, ἔβαλεν εἰς τὸ Παλάτιον αὐτοῦ, ἐν τῷ Ναῷ τοῦ ἁγίου Στεφάνου, καὶ ἀνεγινώσκετο κατ' ἐνιαυτὸν τῇ μεγάλῃ Παρασκευῇ, ὡς λέγει ὁ Ἰωὴλ εἰς τὸ χρονικὸν αὐτοῦ. Τὴν δὲ Σαλαμῖνα κατέστησεν Ἀρχιεπισκοπὴν πάσης Κύπρου, καὶ τῷ Ἀντιοχείας προσέταξε πόρρῳ ἀπέχειν τοῦ διενοχλεῖν τὴν Κύπρον, ὡς φησὶν ὁ Μοναχὸς Κύριλλος, ὁ Ἀναγνώστης Θεόδωρος, καὶ ὁ Σουΐδας. Ὁ δὲ Νικηφόρος ὁ τὴν εὕρεσιν τοῦ Ἀποστολικοῦ λειψάνου καὶ τοῦ Εὐαγγελίου, ἀνάγων εἰς τὸν καιρὸν τοῦ Ἀναστασίου, Λανθάνεται. καὶ γὰρ ὁ Βαλσαμὼν ἐν τῇ ἑρμηνείᾳ τοῦ τριακοστοῦ Κανόνος, τῆς ἐν Τρούλλῳ Συνόδου λέγει, ὅτι εἰς τὴν Σαλαμῖνα, ἥτις καὶ Κωνσταντία ἐλέγετο (νῦν δὲ λέγεται Ἀμμόχουστος) Ἰουστινιανὸς ὁ ῥινότμητος ἀνακαινίσας εἰς κάλλος, ὠνόμασε νέαν Ἰουστινιανήν. Ὅθεν γίνεται δῆλον ἐκ τούτου, ὅτι οὐ λέγεται ἡ Κύπρος δευτέρα Ἰουστινιανή, ἀλλὰ νέα Ἰουστινιανή, καὶ ὅσοι λέγουσιν αὐτὴν δευτέραν, πλανῶνται ἐξ ἀγνοίας. Εἶτα εἴρηται ἀνωτέρω, ὅτι πρώτη Ἰουστινιανὴ λέγεται ἡ Ἀχρίς, δευτέρα δὲ τὰ οὐλπιανά, καὶ οὐχ ἡ Κύπρος,

Ἦσαν δὲ Ἐπισκοπαὶ πολλαὶ ἐν τῇ Κύπρῳ, ὅθεν ἐπὶ Μανουὴλ τοῦ Κομνηνοῦ διὰ τὸ τὸν Ἐπίσκοπον Κύπρου κρῖναι, καὶ καθῆραι Ἐπίσκοπον μετὰ ἕνδεκα Ἐπισκόπων Συνόδου, ὁ Κωνσταντινουπόλεως Λουκᾶς ἠθέτησε τὴν τοιαύτην κρίσιν παρανόμως, καὶ ἴδε κατωτέρῳ βιβλίῳ η΄. κεφ. κα΄., νῦν δὲ εἰσὶ μόναι τέσσαρες. ἡ Ἀρχιεπισκοπὴ, ἡ Πάφος, ἡ λεμεσσὸς, καὶ ἡ Κυρηνία. Ἴδε περὶ τῆς Κύπρου κατωτέρῳ. βιβλίῳ η.΄ κεφ. ιζ΄. καὶ κεφ. ιη΄.

Καίτις δὲ Γουϊλέρμος Μπεβερέγιος τῆς Ἀγγλικῆς Ἐκκλησίας Πρεσβύτερος ὑπομνηματιστὴς τῶν Ἀποστολικῶν τε, καὶ συνοδικῶν Κανόνων, ἐξηγῶντας τὸν ῥηθέντα η΄. Κανόνα τῆς γ΄. Συνόδου, ἐν Λατινίδι διαλέκτῳ, οὕτω πως λέγει. Ὅθεν γέγονεν ὡς ἐκ τούτου τοῦ προγραφέντος Κανόνος τὴν Κύπρον, τῶν ἑαυτοῖς ἀνέκαθεν προνομίων, σώων τε καὶ ἀψαύστων εὐφραίνεσθαι, καὶ μετὰ τοὺς ἀνορθωθέντας Πατριαρχικοὺς θρόνους, οὐδενὶ γὰρ αὕτη Πατριάρχῃ πόποτε ὑπετάγη, ἀλλ' αὐτοκέφαλος κατὰ πάντα διεγένετο, ὡς ἐν τῇ Ἀρχαίᾳ τῶν Ἐπισκοπῶν σημειώσειτε, καὶ τάξει ἐν χειρογράφῳ Κώδικι Μποτλεϊάνῳ λεγομένῳ, τὸ αἴτιον ἐπιφέρεται δι' ὃ ἡ Ἐπαρχία τῆς Κύπρου οὐδενὶ ὑποτέτακται Πατριάρχῃ. Δεῖ εἰδέναι φησὶν, ὅτι αὕτη αὐτοκέφαλος ἐστὶ, μὴ τελοῦσα ὑπό τινα Πατριαρχικὸν θρόνον, ἀλλὰ διαμεμένηκεν ἔχουσα παρ' ἑαυτὴν δεσποτείαν, διὰ τὸ εὑρεθῆναι ἐν αὐτῇ τὸν ἅγιον Ἀπόστολον Βαρνάβαν, ἔχοντα ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον. Εἰσὶ δὲ καὶ ἐν αὐτῇ αἱ Πόλεις αὗται. Κωνσταντία Μητρόπολις. Κίτιον, Ἀμαθοῦς, Κούριον, Πάφος, Ἀρσεναῖ, Σόλοι, Λάπιθος, (ἐν ᾗ ἐγεννήθη Γεώργιος ὁ Κύπριος, ὁ γράψας τὴν βίβλον ἐξ ἧς ταῦτα μετελήφθησαν) Κυρηνία, Τάμασος, Κύθροι, Τριμηθοὺς, Κάρπασιν.

Τὰ δὲ τῆς στ΄. Συνόδου ἐν Κανόνι λθ΄. ταῦτα.

Τοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἰωάννου τοῦ τῆς Κύπρου Νήσου Προέδρου, ἅμα τῷ οἰκείῳ λαῷ ἐπὶ τὴν Ἑλλησπόντιον Ἐπαρχίαν, διάτε τὰς βαρβαρικὰς ἐφόδους διάτε τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ Χριστιανικωτάτου

κράτους ὑποταγῆναι, τῆς εἰρημένης μεταναστάντος Νήσου, προνοίᾳ τοῦ φιλανθρώπου θεοῦ, καὶ μόχθῳ τοῦ φιλοχρίστου, καὶ εὐσεβοῦς ἡμῶν βασιλέως. συνορῶμεν, ὥστε ἀκαινοτόμητα διατηρηθῆναι τὰ παρὰ τῶν ἐν Ἐφέσῳ τὸ πρότερον συνελθόντων θεοφόρων Πατέρων τῷ θρόνῳ τοῦ προγεγραμμένου (πατρὸς) ἤτουν Ἀνδρὸς, παρασχεθέντα προνόμια, ὥστε τὴν νέαν Ἰουστιανούπολιν τὸ δίκαιον ἔχειν τῆς Κωνσταντινουπόλεως, καὶ τὸν ὑπ' αὐτῇ καθιστάμενον θεοφιλέστατον Ἐπίσκοπον, πάντων προεδρεύειν τῶν τῆς Ἑλλησποντίων Ἐπαρχίας, καὶ ὑπὸ τῶν οἰκείων Ἐπισκόπων χειροτονεῖσθαι, κατὰ τὴν ἀρχαίαν συνήθειαν. Τὰ γὰρ ἐν ἑκάστῃ Ἐκκλησίᾳ ἔθη, καὶ οἱ θεοφόροι Πατέρες ἡμῶν παραφυλάττεσθαι διεγνώκασι, τοῦ τῆς Κυζικινῶν Πόλεως Ἐπισκόπου ὑποκειμένου τῷ προέδρῳ τῆς εἰρημένης Ἰουστινιανουπόλεως, μιμήσει τῶν λοιπῶν ἁπάντων Ἐπισκόπων, τῶν ὑπὸ τὸν λεχθέντα θεοφιλέστατον πρόεδρον Ἰωάννην, ὑφ' οὗ χρείας καλούσης, καὶ ὁ τῆς αὐτῆς Κυζικινῶν Πόλεως Ἐπίσκοπος χειροτονηθήσεται.

Βαλσαμών.

Ἀπὸ μὲν τοῦ η'. Κανόνος τῆς γ'. Συνόδου, παρίσταται, ὅτι ἐκ προσελεύσεως Ἐπισκόπου τινὸς Κυπρίων, Ρηγίνου ἐπιλεγομένου, ὡρίσθη Αὐτοκέφαλον εἶναι τὴν Ἐκκλησίαν τῆς Κύπρου, καὶ ἐκωλύθη ὁ Ἀντιοχείας ἐν αὐτῇ χειροτονίας ποιεῖν. ὁ δε παρὼν Κανὼν ἐξενεχθεὶς ἀπὸ αἰτήσεως ἑτέρου Ἀρχιεπισκόπου Κύπρου Ἰωάννου, ἐπικυροῖ μὲν καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα, ὀνομάζων καὶ τὴν Ἐκκλησίαν τῶν Κυπρίων νέαν Ἰουστινιανούπολιν, διωρίζεται δὲ ἔχειν αὐτὴν καὶ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως, ὡσαύτως καὶ τὰς Ἐκκλησίας τῶν Ἐπαρχιῶν τοῦ Ἑλλησπόντου, καὶ τὴν Ἐκκλησίαν τῆς Κυζίκου, καὶ γίνεσθαι τὰς τῶν Ἐπισκόπων αὐτῶν χειροτονίας παρὰ τοῦ Κύπρου. Σήμερον δὲ, οὐδὲ μία ἀπὸ τῶν Ἐκκλησιῶν τούτων τῇ Ἀρχιεπισκοπῇ Κύπρου ὑπόκειται, ἀλλ' οὐδὲ τὰ δίκαια τῆς Κωνσταντινουπόλεως ἔχει. καὶ ζητητέον ὅπως τοῦτο γίνεται. Ἑλλήσποντος μέντοι ἐστὶ τὰ ἀπὸ τῆς Ἀβύδου, καὶ μέχρι τῆς θράκης παρεκτεινόμενα ἀνατολικὰ ὅρια.

Ζωναρᾶς.

Ἐν τῇ γ'. Συνόδῳ ἐψήφισται παρὰ τῶν τῆς Συνόδου ἐκείνης θείων Πατέρων, τοὺς Κυπρίους Ἐπισκόπους δι' ἑαυτῶν τὰς χειροτονίας τῶν Ἐπισκόπων ποιεῖν. ἐπειρᾶτο γὰρ ὁ Ἀντιοχείας τότε ὑφ' ἑαυτὸν καὶ τὴν Κύπρον ἔχειν, καὶ παρ' ἐκείνου χειροτονεῖσθαι τοὺς ἐν αὐτῇ Ἐπισκόπους. Τοῦτο οὖν προνόμιον, καὶ ὁ Κανὼν οὗτος ἀκαινοτόμητον προσεῖναι ψηφίζεται ταῖς Ἐκκλησίαις ταῖς ἐν τῇ Κύπρῳ, καὶ προστίθησι τῇ νέᾳ πόλει, ἥτις Ἰουστινιανούπολις ἐπεκλήθη, τὸ ἔχειν τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον. καὶ ὥσπερ τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως ὑποτέθηται ἥ,τε Ἀσιανή, καὶ ἡ Ποντικὴ καὶ ἡ θρακικὴ Ἐπαρχία, οὕτω καὶ τούτῳ δέδοται προεδρεύειν τῆς Ἑλλησποντίων Ἐπαρχίας, ὑποκεῖσθαι δὲ αὐτῷ καὶ τὸν Κυζίκου Ἐπίσκοπον, καὶ παρ' αὐτοῦ χειροτονεῖσθαι. καὶ αὕτη γὰρ ἡ Πόλις, τὴν Κύζικον φημὶ, Ἑλλησπόντιός ἐστιν. εἰ μὲν οὖν καὶ εἰς ἔργον ἦλθεν ἡ περὶ τῆς Κυζίκου ψῆφος ποτὲ, οὐκ οἶδα. τέως δὲ οὐ κρατεῖ τὰ τῆς ψήφου, ὅσον πρὸς τὴν Κύζικον, ἀλλ' οὐδὲ ἐπὶ ταῖς ἄλλαις Ἑλλησποντίων χώραις καὶ πόλεσι, πρόσεστί τι τῷ Κύπρου δίκαιον.

Ἀριστένητος.

Ἡ νέα Ἰουστινιανούπολις τὸ δίκαιον ἐχέτω Κωνσταντινουπόλεως, καὶ ὁ ταύτης πρόεδρος πάντων Ἑλλησποντίων, πρὸς οὓς μετῴκισε προεδρευέτω καὶ ὑπὸ τῶν οἰκείων Ἐπισκόπων χειροτονείσθω ὡς οἱ ἐν Ἐφέσῳ ἐθέσπισαν.

Οὗτος ὁ τῆς Νήσου τῶν Κυπρίων πρόεδρος Ἰωάννης (αὕτη γὰρ ἐστι καὶ νέα Ἰουστινιανούπολις) διὰ τὰς τῶν βαρβάρων ἐφόδους, καὶ τὸ τῆς ἐθνικῆς ἐλευθερωθῆναι δουλείας, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ χριστιανικωτάτου Κράτους ὑποταγῆναι, μετανάστης τῆς Κύπρου γενόμενος, καὶ εἰς τὴν τῶν Ἑλλησποντίων μετοικίσας Ἐπαρχίαν, ἐπετράπη τὸ δίκαιον ἔχειν Κωνσταντινουπόλεως, ἐπὶ ταῖς Ἑλλησποντίαις Ἐπισκοπαῖς, καὶ πάντων τῶν ἐν τῇ αὐτῇ Ἐπαρχίᾳ Ἐπισκόπων προεδρεύειν αὐτὸν, καὶ ἰδιαιτάτην ἀρχὴν ἔχειν, καὶ ὑπὸ τῶν ἰδίων Ἐπισκόπων χειροτονεῖσθαι, καθὼς καὶ ἡ ἐν Ἐφέσῳ Σύνοδος ὥρισεν.

Ἐπιφέρει δὲ ὁ αὐτὸς τὴν τοῦ πράγματος ἀκολούθησιν, καὶ οἱονεὶ διήγησιν τινά, σύμην δε νόμοις τε καὶ Κανόσιν ἁρμόζουσαν ἐξήγησιν, ὡς ἐπεὶ ἡ Κύπρος τῆς ἐθνικῆς ἐλευθερώθη χειρὸς, ἐπανῆλθον αὖθις αἱ καθ' Ἑλλήσποντον Μητροπόλεις πρὸς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον, τοῦτο δὲ καί περ σαφῶς ἐγίνωσκον, ὅ,τε Βαλσαμὼν, καὶ Ζωναρᾶς, ἐπέμενον ὅμως ἀποροῦντες, ὁ μὲν Βαλσαμὼν, καὶ ζητητέον ὅπως τοῦτο γίνεται. ὁ δὲ τέως δὲ, οὐ κρατεῖ τὰ τῆς ψήφου, τὸ αἴτιον οὐκ ἐπήγαγον. βιαίου ὄντος (ὡς ἔμοιγε δοκεῖ) εἰπεῖν τοῦτο, τὴν ζήτησιν μόνον ἐκίνησαν. ὃ δὲ ἐπιφέρει ὁ Ἀριστένητος, οὔτε τῷ δικαίῳ, οὔτε αὐτοῖς τοῖς νόμοις ἁπανταχοῦ διακελεύουσιν, ἀκαινοτόμητα διατηρεῖσθαι τὰ ἅπαξ διὰ συνοδικῶν Κανόνων ἀποφανθέντα, καὶ Ἐκκλησίᾳ τινὶ παρασχεθέντα προνόμια, δοκεῖ εὔλογον, καὶ γὰρ ἡ συνοδικὴ αὕτη ψῆφος, προνοίᾳ τοῦ φιλανθρώπου θεοῦ, καὶ μόχθῳ τοῦ φιλοχρίστου, καὶ εὐσεβοῦς Βασιλέως, ὥς φησιν, οὐ τῷ τότε Ἀρχιεπισκόπῳ Ἰωάννῃ προσωπικῆς τινος τιμῆς ἕνεκεν, ἀλλὰ τῷ τούτου θρόνῳ τῇ Ἰουστινιανουπόλει, καὶ τῷ ἐπ' αὐτῇ καθισταμένῳ θεοφιλεστάτῳ Ἐπισκόπῳ ταῦτα δίδωσι, καὶ οὐ πρὸς καιρὸν, καὶ κατ' οἰκονομίαν, ἐς τ' ἂν δῆθεν ἡ Κύπρος τῆς βαρβαρικῆς ἐλευθερωθείη χειρός. ἀνθ' ὧν ὑστερήθη προνομίων, ταῦτα χαριζομένη πεφιλοτίμηται τοῖς Κυπρίοις ὡς ἐπὶ λέξεως φαίνεται, τοῖς ἀπαθῶς, καὶ ἀδεκάστως τὰ τοῦ Κανόνος κρίνουσι, καθὰ καὶ τοῖς διαληφθεῖσι τούτοις ἐξηγηταῖς ἐναργῶς δηλοῦται. ὁ μὲν Βαλσαμὼν λέγων, ἐπικυροῖ ὁ Κανὼν, καὶ τὰ ἐν Ἐφέσῳ πεπραγμένα, ὀνομάζων καὶ τὴν Ἐκκλησίαν τῶν Κυπρίων νέαν Ἰουστινιανούπολιν, διορίζεται δὲ ἔχειν αὐτὴν (ἀλλ' οὐ τὸν Ἰωάννην) καὶ τὸ δίκαιον τῆς Κωνσταντινουπόλεως, ὡσαύτως καὶ τὰς Ἐκκλησίας τῶν Ἐπαρχιῶν τοῦ Ἑλλησπόντου.

Ὁ δ' αὖ Ζωναρᾶς καίτοι περιεργώτερος ἐν πάσαις ταῖς αὐτοῦ ἐξηγήσεσι, τοῦτο οὖν προνόμιον (φησὶ) καὶ ὁ Κανὼν οὗτος ἀκαινοτόμητος προσεῖναι ψηφίζεται ταῖς Ἐκκλησίαις ταῖς ἐν Κύπρῳ, καὶ προστίθησι τῇ νέᾳ πόλει, ἥτις Ἰουστινιανούπολις λέγεται, τὸ ἔχειν τὸ τῆς Κωνσταντινουπόλεως δίκαιον. Σημειωτέον δὲ ὡς προστίθησι φησὶν, ἀλλ' οὐκ ἀντιδίδωσι, δι' οὗ εἶχεν ἄντις τὸ, τῆς οἰκονομίας,

δὸς δ' εἰπεῖν καὶ τὸ, πρὸς καιρὸν ἐκλαβεῖν τε, καὶ συμπεράναι. ὡσαύτως τῇ νέᾳ Πόλει, οὐ μὴν τῷ τότε θεοφιλεστάτῳ Ἰωάννῃ Ἐπισκόπῳ, δι' ὃν ἂν καὶ τὸ, τῆς προσωπικῆς ὑπεμφαίνετο τιμῆς, καίπερ τὰ τοιαῦτα ἀνοίκεια τῳόντι, καὶ πάντα ξένα συναδικαῖς ἀποφάσεσι, προσωπικῶν τε καὶ βραχυτελῶν μὴ φροντιζούσαις, ἀλλὰ τοὐναντίον ἅπαν, ὀρθῶς ἄρα οἱ ρηθέντες ἐξηγηταὶ ζητήσεως ἀξιοῦσι, καὶ ἐρεύνης, τὸ μὴ διαμεμενηκέναι τὴν τῆς τοιαύτης συνοδικῆς ψήφου ἐνέργειαν. Οἱ γὰρ θεῖοι τοσοῦτοι ἄνδρες, μετὰ τοῦ εὐσεβοῦς καὶ φιλοχρίστου Βασιλέως, οὐκ εἰκῇ καὶ ὡς ἔτυχε τῇ τῶν Κυπρίων Ἐκκλησίᾳ τοῖς ἀρχαίοις προνομίοις, καὶ ταῦτα προσεφιλοτιμήσαντο, ἀλλὰ τὸ τῆς εὐσεβείας ἀνόθευτον παρά τε τοῦ καλοῦ Ποιμένος, καὶ παντὸς τοῦ Κλήρου ἑωρακότες ὡς διασαφεῖ ὁ Κανὼν, δι' ἣν δὲ καὶ τὴν τῶν λοιπῶν πάντων μετὰ τῆς ἐνεγκούσης περιφρόνησιν, τὴν δὲ τοῦ κυρίου ἐντολὴν, πᾶς ὅς τις κελεύουσαν ἀφῆκεν οἰκίαν, ἢ ἀγροὺς, καὶ συγγενεῖς ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος λήψεται ζωὴν αἰώνιον, προθύμως διαπράξαντος, καὶ καθαρῶς τοῖς σκήπτροις τοῦ Χριστιανικωτάτου Κράτους ὑποταγέντος, ἀνεμνήσθησαν ὡς ἔοικεν, οὐ μόνον τῆς πρὸ μικροῦ ἐπὶ τοῦ Ζήνωνος εὑρέσεως, τοῦ τε Ἀποστολικοῦ λειψάνου, καὶ τοῦ Ἱεροῦ Εὐαγγελίου, τὴν κατὰ σάρκα γέννησιν, καὶ ἐνανθρώπησιν τοῦ λόγου, τῶν λοιπῶν τριῶν Εὐαγγελιστῶν μᾶλλον δηλοποιοῦντος, δι' ὧν πᾶσα ηὐφράνθη Ἐκκλησία, καταισχυνθέντων τότε τῶν εὐτυχούντων Εὐτυχιανῶν, τὴν σάρκα τοῦ Χριστοῦ, μὴ εἶναι ἡμῖν λεγόντων ὁμοούσιον. ἴσως δὲ καὶ τῆς πρὸ τούτων τοῦ ταπεινόφρονος μὲν, θαυματουργοῦ δὲ Σπυρίδωνος συμμαχίας, κατὰ τὴν πρώτην Σύνοδον, οὐ λόγοις καλῶς, ὃ δὴ λέγεται ψοφουμένοις, ἀλλ' ἀφώνως ἔργοις τὸ τοῦ Ἀρείου ἀπύλωτον ἐπιστομήσαντος στόμα, τήν τε Τριάδα πιστῶς δογματίσαντος, καὶ τὴν Σύνοδον Κυρώσαντος, ὡς ἡ κατ' αὐτὸν Ἱστορία, καὶ τὰ τῆς Ἐκκλησίας πρὸς αὐτὸν ἀνακηρύττει ἐγκώμια. Τούτων τοίνυν ἀναμνησθέντες, καὶ ἐν τῇ ὀρθοδόξῳ Πίστει ἐς τὰ μάλιστα συντεινόντων στοχασάμενοι, τῇ τῶν Κυπρίων Ἐκκλησίᾳ οἱονεῖτι γέρας, καὶ τροφεῖα, ὡς οὕτως εἴπομεν, τῇ τροφῷ προσαπέδωκαν. Τὰ γὰρ τῆς ἰδιαιτάτης ἀρχῆς,

καὶ τῆς αὐτονομίας προνόμια ἀνέκαθεν ἐκαρποῦτο ἡ ἁγία αὕτη Ἐκκλησία, ὡς ἐν τῇ τρίτῃ Συνόδῳ διὰ τῶν Λιβέλλων, καὶ τῶν οἰκείων φωνῶν ἐδίδαξαν οἱ εὐλαβέστατοι ἐκεῖνοι ἄνδρες. εἰ γὰρ καὶ ἄλλαι Ἐκκλησίαι τῷ τῆς αὐτονομίας ἐτιμήθησαν προνομίῳ ἀλλ' ὀψέποτε καὶ μετὰ καιροῦ παρέλευσιν, ὡς ἡ τῆς Ἀχρίδος, καὶ Καρθαγένης, ἐπὶ Ἰουστινιανοῦ, ἐπέκεινα τῶν ἑξακοσίων ἀπὸ Χριστοῦ ἐτῶν, πότε δὲ καὶ οἱ τῆς Κωνσταντινουπόλεως Ἐπίσκοποι ἐπαύσαντο χειροτονεῖν καὶ πέμπειν εἰς Βουλγαρίαν Ἀρχιεπίσκοπον ἄδηλον. Ἡ δὲ τῆς κάτω Ἰβηρίας ὑποκειμένη οὖσα τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, μετὰ τὴν ἕκτην Σύνοδον, περίπου τὸ ὀκτακοσιοστὸν ἔτος σωτήριον, γέγονεν Ἀρχιεπισκοπὴ αὐτοκέφαλος, ἄδηλον δὲ ἐπὶ τίνος Αὐτοκράτορος, καὶ ὑπὸ ποίας Συνόδου. Ἡ δὲ τῆς ἄνω Ἰβηρίας ἐτέλει ὑπὸ τὸν Ἀντιοχείας, ἐπὶ δὲ Κωνσταντίνου τοῦ Βασιλέως τοῦ Μονομάχου, καὶ Πέτρου Πατριάρχου Ἀντιοχείας, ἐν ἔτει σωτηρίῳ χιλιοστῷ τεσσαρακοστῷ πέμπτῳ, ἐγένετο Ἀρχιεπισκοπὴ αὐτοκέφαλος, ἀγνοουμένης τῆς αἰτίας. Ἡ δ' αὖ τοῦ πεκίου ὑποκειμένη τὸ πάλαι οὖσα τῇ τῆς Ἀχρίδος Ἀρχιεπισκοπῇ, ἐπὶ Βασιλέως Θεοδώρου τοῦ Λασκάρεως, καὶ Ἀρσενίου Πατριάρχου, ἐν ἔτει ἀπὸ Χριστοῦ χιλιοστῷ διακοσιοστῷ δεκάτῳ τετάρτῳ, τῆς αἰτίας μὴ φαινομένης, ἀπεσπάσθη συνοδικῶς τῆς Ἀχρίδος, καὶ εἰς αὐτονομίαν κατέστη. Εἰδὲ καὶ τὴν τῆς Ἀρμενίας εἴποις, καὶ αὕτη πρῶτον ὑπὸ τὸν Καισσαρίας Μητροπολίτην ἐτέλει, εἶτα δὲ διὰ τὸν ἐξ αὐτῆς ἅγιον Γρηγόριον τετίμηται εἰς αὐτονομίαν, μετὰ δ' αὖ οὐ πολὺ ὑπὸ τὸν αὐτὸν ὑπέπεσεν, ἔστ' ἂν τῆς τῶν Μονοφυσιτῶν, κατὰ τὴν ὀπτασίαν τοῦ Ἀρχιεπισκόπου ἁγίου Ἰσαὰκ τοῦ αὐτῆς, καὶ ἄλλων αἱρέσεων αὐξηνθεισῶν ἐν αὐτῇ, πᾶν ὀρθοδοξίας ἴχνος, φεῦ, ταύτης ἐξελήλαται. Ἔλαβε δὲ καὶ ἡ Τούρναβος αὐτονομίαν, Βασιλικῷ καὶ Συνοδικῷ γράμματι ἐπὶ Ἰωάννου τοῦ Βατάτζου, καὶ Γερμανοῦ Πατριάρχου Κωνσταντινουπόλεως, δεήσει τοῦ Ἀσάνη Ἄρχοντος Βουλγάρων ἀρχαία οὖσα κατοικία τοῦ ἔθνους αὐτοῦ.

Μετὰ δὲ τὴν ὑπὸ τῶν ὀθωμανῶν ἅλωσιν τῆς Κωνσταντινουπόλεως, ὡς ὁ Ἱεροσολύμων Κύριος Δοσίθεος, ἐξ οὗ τὰ πλείω περὶ τούτων μετελήφθησαν, κεφ. γ'. τοῦ βιβλίου ια'. φησὶν, Ὅτι Ἱέραξ

ὁ μέγας Λογοθέτης ἀκμάζων περὶ τὸ ἑπτάκις χιλιοστὸν ὀγδοηκοστὸν ἔτος ἐσημείωσεν, ὡς ἠθροίσθη Σύνοδος ἐν Κωνσταντινουπόλει, ἐν ᾗ λόγος ἐγένετο, περὶ τοῦ ὅτι κακῶς ᾔτησαν οἱ Βασιλεῖς γενέσθαι τινὰς Ἐπαρχίας αὐτοκεφάλους, ὅθεν διναστικῷ τῷ τρόπῳ ὑπετάγησαν τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως, ἦτε Ἀχρὶς καὶ ἡ Τούρναβος, καὶ τὸ Πέκιον, καὶ οὕτως ἐχειροτόνησαν εἰς αὐτὰς τὰς Ἀρχιεπισκοπὰς Μητροπολίτας, καὶ ἡ μὲν Τούρναβος ἐνέμεινε τῇ ὑποταγῇ, αἱ δὲ λοιπαὶ δύω ὑποσχεθεῖσαι τῷ Σουλτάνῳ φόρους κατ' ἰδίαν, ἴσχυσαν τῇ ἐξωτερικῇ βίᾳ μεῖναι ἐν τῷ ἀρχαίῳ σχήματι. Παρὰ δὲ ταύτας τὰς διαληφθείσας ἁγίας Ἐκκλησίας, οὐδὲ μία τις ἄλλη φέρεται προνομίων τετυχηκέναι τῆς αὐτονομίας, καὶ μὴ ὑπὸ πατριαρχικὸν, ἢ μητροπολιτικόν τινα τελεῖν θρόνον. Τούτων μέντοι πασῶν τὰ τῆς Κύπρου ἁγίας Ἐκκλησίας προνόμια διαφέρει, ἀσυγκρίτως τῇ ἀρχαιότητι, ποσότητι, ποιότητι, καὶ ἐγγράφῳ διασαφήσει. εἰδέ σοι βουλητὸν, καὶ ἐρεύνης ἀξιωθήτωσαν φιλομαθίας τε καὶ ἀληθείας χάριν, καὶ πρῶτον μὲν ἡ τούτων ἀρχαιότης ἀκρcθιγῶς ἐδείχθη, καὶ ἐπιπολαίως, ἐν τῇ τρίτῃ τότε Συνόδῳ διὰ τῶν λιβέλλων, ὑπὸ τῶν διαληφθέντων εὐλαβεστάτων ἐκείνων ἀνδρῶν. ἡ δὲ παράδοσις τῆς αὐτονομίας διαμεμένηκεν ἀμέσως παρ' αὐτῶν τῶν Ἱερῶν Ἀποστόλων, οἵ τινες οὐχ ὁ μὲν ὃς δ' οὒ, ἀλλὰ πάντες παραγενόμενοι εἰς τὴν Νῆσον τῆς Κύπρου, τὸν τετραήμερον Λάζαρον φόβῳ τῶν Ἰουδαίων πρὸς ταύτην διαδράντα, Ἀρχιερέα πρῶτον τῆς Κύπρου κεχειροτονήκασιν, οὗ χάριν καὶ τὴν ὑπέραγνον τοῦ θεοῦ Μητέρα, λέγεται, ἐκεῖσε παραγενέσθαι, καὶ τὸ ὅπερ οἰκείαις χερσὶν ἐπισκευασαμένη ὠμοφόριον αὐτῷ ἐχαρίσατο, ὡς ὁ Νικηφόρος Κάλλιστος ὁ ξανθόπουλος ἱστορεῖ. φαίνεται δὲ καὶ εἰς τὰς πράξεις τῶν Ἀποστόλων, ὅτι οἱ Ἀπόστολοι ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ, διῆλθον εἰς τὴν Κύπρον. κᾀκεῖ ὅσοι κτήτορες χωρίων, ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων. κεφ. δ'. Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν Ἀποστόλων (ὅ ἐστὶ μεθερμηνευόμενον υἱὸς παρακλήσεως) Λευΐτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ

τοὺς πόδας τῶν Ἀποστόλων. οὗτος ἐστὶν ὃν ἀπέστειλαν οἱ Ἀπόστολοι διελθεῖν ἕως Ἀντιοχείας, ὅτι ἦν ἀνὴρ ἀγαθὸς. καὶ πλήρης πνεύματος ἁγίου, καὶ πίστεως. κεφ. ια΄. καὶ δι' αὐτοῦ ἀπελθόντος προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ, ἐκεῖθεν δὲ εἰς Ταρσὸν ἐξελθὼν, καὶ ἀναζητήσας καὶ εὑρὼν τὸν Παῦλον ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν, κᾀν ταύτῃ αὐτὸς πρῶτος κεχρημάτικε τοὺς Μαθητὰς Χριστιανούς.

Ὅθεν ψεύδεται προφανῶς ὁ Ἀντιοχείας Πέτρος κναφεὺς, πειρώμενος ὑποτάξαι αὐτῷ τὴν κατὰ τὴν Κύπρον Ἐκκλησίαν, ἐπὶ τῷ δεδιδάχθαι δῆθεν τοὺς Κυπρίους τὴν ὀρθόδοξον πίστιν παρὰ τῶν Ἀντιοχέων, τοὐναντίον ἅπαν δέον τοῦτον εἰπεῖν τοὺς Ἀντιοχεῖς διδαχθῆναι πρῶτον, καὶ ὠνομασθῆναι Χριστιανοὺς παρὰ Ἀποστόλου Κυπρίου. Ἐν δὲ κεφ. ιγ΄. τῶν αὐτῶν φαίνεται, ὅτι, ὅτε ὁ Βαρνάβας συνέκδημος τοῦ Παύλου ὑπὸ τοῦ ἁγίου Πνεύματος κεχειροτώνηται, ἀφωρισθέντες ὑπ' αὐτοῦ, ἀμφότεροι ἐπέμφθησαν εἰς τὴν Κύπρον, ἔχοντες μεθ' ἑαυτῶν καὶ Ἰωάννην τὸν μετονομασθέντα Μάρκον, ὃς ἦν Εὐαγγελιστὴς, καὶ ἀνεψιὸς τοῦ Βαρνάβα. ταύτην δὲ διελθόντες ἅπασαν, (διῆλθον γὰρ φησὶν ἡ Ἱστορία ἀπὸ Σαλαμίνης, ἄχρι Πάφου) κατήγγειλαν τὸν λόγον τοῦ θεοῦ, καὶ ἐπιστραφέντων πολλῶν, μετὰ Σεργίου Ἀνθυπάτου, ἀνδρὸς συνετωτάτου, καὶ τοῦ ψευδοπροφήτου Βαριησοῦ ἐκτυφλωθέντος, καὶ ποιμένων ὑπ' αὐτῶν κατασταθέντων, ἀπῆλθον εἰς Πέργαμον τῆς Παμφυλίας, κᾀκεῖθεν διαφόρους ἀμείψαντες τόπους, καὶ μυρίων ὑπ' αὐτῶν ἐνεργουμένων θαυμάτων, ὥστε τοὺς ὄχλους ἐξίστασθαι λέγοντας, οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς ἡμᾶς. τὸν μὲν Βαρνάβαν Δία ἐκάλουν, τὸν δὲ Παῦλον Ἑρμῆν. ἦλθον αὖθις ἐν Ἀντιοχείᾳ, κᾀκεῖ διαζευχθέντες ἀλλήλων, ὁ μὲν Παῦλος παραλαβὼν τὸν Σίλα διήρχετο τὴν Συρίαν, καὶ τὰ πέριξ, ἐπιστηρίζων τὰς Ἐκκλησίας, ὁ δὲ Βαρνάβας τὸν ἀνεψιὸν Ἰωάννην παραλαβὼν τὸν καὶ Μάρκον, εἰς Κύπρον αὖθις ἐξέπλευσεν, ἐπισκεψάμενος τὰς ἐν αὐτῇ Ἐκκλησίας, ἐν ᾗ τελευταῖον ὑπὸ Ἰουδαίων, καὶ Ἑλλήνων λίθοις κτείνεται, ὡς ἡ κατ' αὐτὸν Ἱστορία δηλοῖ, ὃν ὁ Εὐαγγελιστὴς Μάρκος συγκομίσας ἔθετο ἐν σπηλαίῳ, μετὰ καὶ τοῦ εἰς ὕστερον εὑρεθέντος Ἱεροῦ Εὐαγγελίου.

Ἔκτοτε τοίνυν κατὰ παράδοσιν ἀποστολικὴν καθέδραν συνάγεται, τοὺς θεσπεσίους ἐκείνους ἄνδρας, ἐν τῇ τρίτῃ Ἱερᾷ Συνόδῳ ἀποδεδειχέναι διὰ λιβέλλων τὸ τῆς ἰδιαιτάτης ἀρχῆς προνόμιον, καὶ ταῦτα μὲν περὶ τῆς ἀρχαιότητος. Ἡ δὲ τούτων βεβαίωσις οὐχ ἅπαξ ἐπὶ τῆς τρίτης γέγονε Συνόδου, ἀλλὰ καὶ ἐπὶ τοῦ Ζήνωνος, καὶ Ἀκακίου Πατριάρχου Κωνσταντινουπόλεως, ἐν τῇ εὑρέσει τοῦ θείου καὶ Ἀποστολικοῦ λειψάνου, καταισχυνθέντος καὶ τοῦ ἀντιπάλου Πέτρου Ἀντιοχείας, καὶ αἱρεσιάρχου ἐν τούτῳ φανέντος. καὶ τρίτον ἐν τῇ ἕκτῃ Συνόδῳ, παρ' ἧς οὐ μόνον ἐνδόξως διὰ Κανόνων ἐβεβαιώθη τὰ αὐτὰ ταῦτα προνόμια, ἀλλὰ καὶ φιλοτίμως τῇ προτέρᾳ ἐν Κύπρῳ διοικήσει προσετέθη καὶ ἡ Ἑλλήσποντος (οὐκ ἀποκνητέον δὲ καὶ τοῦτο τῇ ποσότητι ἀπονεμεῖν, εἰ καὶ τοῦ προκειμένου τῆς ποσότητος διαφέρει λόγου) ἡ δὲ προσθήκη οὐκ εἰκῇ, ἀλλὰ χάριν τῶν ὧν ἐπιτροχάδην φθὰς ἔφην. ἐγίνωσκον γὰρ πάντως οἱ θεῖοι Πατέρες, τὸ τοῦ Προφητάνακτος, ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν, ἔτι δὲ καὶ τὸ τοῦ Κυρίου ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω, καὶ ταύτην γὰρ (τὴν πίστιν φημὶ) οὐχ ὅπως ὁ τότε Ἀρχιεπίσκοπος Ἰωάννης μετὰ παντὸς τοῦ οἰκείου Κλήρου δίκην ὄφεως τὴν μὲν κεφαλὴν μόνον φυλάσσοντες, τὸ δὲ λοιπὸν σῶμα προδιδόντες εἰς θάνατον, τὰ ἑαυτῶν καταλιπόντες ἅπαντα καθαρὰν ἐφύλαξαν, ἀλλ' ἐξ αὐτῆς ἔτι τῆς Πρώτης ἀμέσως Ἀποστολικῆς κηρύξεως, καὶ εἰσέτι καὶ νῦν τοῦ κρείττονος ἀντιλαμβανομένου, τοῖς Κυπρίοις, ὡς παρακατιὼν δειχθήσεται, καίτοι πολλά τε καὶ μυρία διαφόροις παθοῦσα τυράννοις, αὕτη φυλάττεται ἀνόθευτος. ὁποῖα δὲ εἰσὶ ταῦτα τὰ προνόμια κἀκ τῶν προειρημένων δῆλον, ὅτι ἀρχαιότατα ὄντα δηλαδὴ καὶ τοῖς ἐναντίοις τοσάκις βιασθέντα, οὐ χρηματιστικῷ τῷ τρόπῳ, καὶ βιαίῳ, ἀλλὰ δικαιωτάτοις τε, καὶ ἀπροσωπολήπτοις Συνοδικαῖς ἐξετάσεσιν, ἀλώβητον τὴν ἐλευθερίαν, καὶ παρθένον, ὡς οὕτως εἴποιμι, διά τε θαυμάτων, καὶ ἐναρέτων κινημάτων διεσώσαντο. Ὅθεν δίκαια, ἔννομα, ὅσιά τε, καὶ ἅγια, ἅτε δὴ ὑπὸ ὁσίων, καὶ ἁγίων ἀνδρῶν, τῶν Ἀποστόλων μὲν τὸ πρῶτον, παρασχεθέντα, τῶν Πατέρων δ' ὕστερον βεβαιωθέντα, καὶ ἐπαυξηνθέντα.

Οὐκ ἀμοιρεῖ δὲ καὶ τοῦ οἱονεὶ θύραθεν κόσμου, οὗ μόνον ταῖς λοιπαῖς μέτεστι τῶν αὐτονομίας λαχόντων ἁγίων Ἐκκλησιων, βασιλικῶν, ἤτοι φιλοτιμιῶν, Γαμικῶν συναλλαγμάτων, ἀνθ' ὧν νέα Ἰουστινιανὴ ἡ Νῆσος ἐπικέκληται εἰς τιμὴν Θεοδώρας τῆς τοῦ Ἰουστινιανοῦ γαμετῆς, καὶ Βασιλίσσης, Σαλαμινίας ὑπαρχούσης, διαφόρων τε οἰκοδομημάτων ὑπ' αὐτοῦ τε καὶ ἄλλων ἀνεγερθέντων Βασιλέων, ἅπερ πασίδηλα ὄντα, καὶ μάλιστα ἀνθρώπινα, ἑκὼν, εἶναι, παρίημι, ἀρκεσθεὶς ὑπαινίξαι ὁποίοις προνομίοις, πρὸς τοῖς θείοις, ἔτι δηλαδὴ, καὶ ἀνθρωπίνοις τὴν ἁγίαν ταύτην τοῦ Χριστοῦ κεκοσμῆσθαι Ἐκκλησίαν. ἐξ ὧν δῆτα καὶ ἡ διασάφησις τῶν αὐτῶν, ὅπερ ἐστὶ τὸ τελευταῖον ἡμῶν ζήτημα, δῆλον γέγονεν. Ἐδείχθη γὰρ ἀμέσως ἐκ τῶν ἱερῶν Ἀποστόλων διαμεμενηκέναι τὴν παράδοσιν τῆς ἐν Κύπρῳ αὐτονομίας. καὶ ὅτι τίνες οἱ ἀντίπαλοι, καὶ καθ' οὓς χρόνους, καὶ ποσάκις οἱ ταύτην καθαίρειν δοκιμάζοντες. τά τε τὰς προσκλαύσεις πεποιηκότα ὑποκείμενα, οἵτε Σύνοδοι, καὶ οἱ Βασιλεῖς ὑφ' ὧν προὐβλήθησαν αἱ ζητήσεις. τά τε βοηθήματα, καὶ οἱ τρόποι τῆς διασώσεως τούτων, ὅτι θεῖά τε καὶ ὅσια. Εἰ οὖν τὰ ἀρχαῖα τῷ χρόνῳ παρὰ πᾶσι σπουδῆς, καὶ τιμῆς ἀξιοῦται ὡς τῶν νεοτεριζόντων εἰς ἀποδοχὴν πιθανώτερα, τά τε πλείω τῇ ποσότητι προτιμᾶται τῶν ὀλίγων, καὶ τὰ μείζονα τῶν ἡττόνων, τὰ τιμιώτερα τῶν τιμίων, καὶ τὰ θεῖα τῶν ἀνθρωπίνων τῇ ποιότητι προτιμώτερα, καὶ τὰ σαφέστερα τῶν ἧττον σαφῶν γεραρώτερα τῷ φωτὶ τῆς διαγνώσεως, καὶ γὰρ ὧν τὴν γνῶσιν ἀφαιρούμεθα, τούτων καὶ κατηγοροῦμεν προχειρότατα, λείπεται κατὰ πάντας τοὺς τρόπους καὶ τὰ τῆς Κύπρου Ἐκκλησίας προνόμια, μείζονος ἀξιοῦσθαι τιμῆς.

Ὅθεν καὶ ὁ διαληφθεὶς Γουϊλέρμος Ἄγγλος εἰς τὰς αὐτοῦ ἀποσημειώσεις ἐν τῇ τοῦ λθ'. Κανόνος τῆς Ἕκτης Συνόδου, καί τοι περὶ τῆς ἀφαιρέσεως τῶν τῆς Ἑλλησπόντου Ἐκκλησιῶν, ἀπὸ τῆς Κύπρου Ἐκκλησίας φαίνεται ἀκολουθῶν τῷ Ἀριστενήτῳ συμπεραίνων ὅτι κατὰ τοῦτον, ἤτοι τὸν Ἀριστένητον, ἡ δόσις γέγονε πρὸς καιρὸν, καὶ προσωπικῆς τιμῆς ἕνεκεν, τοῦ συνοδικοῦ Κανόνος μηδὲν τοιοῦτον ὑπεμφαίνοντος. λέγει ὅμως ὁ αὐτὸς τῷ τῆς Κύπρου Ἐπι-

σκόπῳ, οὐ μόνον τὸ, Ἀρχιεπισκόπου, ἀλλὰ δὴ καὶ τὸ, Πατριάρχου ὄνομα ὑπ' ἐνίων δέδοται, ἐν γὰρ τοῖς Κανόσι τούτοις φησὶ, τῆς ἕκτης δηλονότι Συνόδου, ὁ προλεχθεὶς Ἰωάννης τῆς νέας Ἰουστινιανουπόλεως Ἀρχιεπίσκοπος, ἔγγιστα μετὰ τοὺς Πατριάρχας ὑπέγραψε, μετὰ γὰρ τὴν τοῦ Γεωργίου Ἀντιοχείας ὑπογραφὴν, ἀμέσως ἀκολουθεῖ. Ἰωάννης ἀνάξιος Ἐπίσκοπος τῆς νέας Ἰουστινιανουπόλεως ὁρίσας ὑπέγραψα. εἰ δὲ καὶ τοῦτο λίαν φαίνεται ταράττον, τὸν μακαρίας τυχόντα λήξεως κύριον Δοσίθεον, σπεύδοντα οὐκ οἶδ' ὅπως τὰς αὐτονόμους σμικρῦναί τε καὶ ἐξευτελῆσαι τῶν Ἀρχιεπισκοπῶν, καὶ τοὺς τούτων Ἀρχιεπισκόπους ἥττους ἀποδεῖξαι, κᾀυτῶν τῶν Πατριαρχικῶν Μητροπολιτῶν, ὡς παραγράφῳ η'. διαταγῇ τοῦ πρώτου βιβλίου, ἤτοι τίτλου τῶν νεαρῶν φαίνεται, ἠτοῦν φαίρεται, ὡς εἰκοστῷ παραγράφῳ τοῦ πέμπτου αὐτοῦ βιβλίου, ἐν Κεφ. η'. ὅτι ὁ Ἰουστινιανῆς μεῖζον ἐστὶ τοῦ Μητροπολίτου παραφέρων φησὶ, τὸ μεῖζον ἐννοεῖται καὶ τὸ μὴ ὑποκεῖσθαι αὐτὸν Πατριάρχῃ. τοῖς τοιαύτης ὅμως ἐξηγήσεως τὸν σκοπὸν ἵνα μὴ εἴπω παραλογισμὸν οὐκ ἔχω συνιέναι, οὐδὲν γὰρ ἄλλο φαίνεται κατασκευάσαι τε καὶ συναγαγεῖν βούλεσθαι, εἰμὴ ὅτι, ἐπεὶ τῷ Πατριάρχῃ οὐχ ὑπόκειται, τοῖς Πατριαρχικοῖς ὑποβιβαζέσθω Μητροπολίταις. Εἰ τοίνυν ὁ αὐτεξούσιος τῷ ὑπεξουσίῳ ὑποβιβασθήσεται, μάτην ἄρα τὸ, μείζων; εἰς τὶ γὰρ πλέον χρήσιμον, ὡσαύτως καὶ τὸ αὐτεξούσιον;

Ἀλλ' ὦ ἁγιώτατε Πάτερ διὰ τὸ μὴ ὑποκεῖσθαι τὸν Ἰουστινιανῆς τῷ Πατριάρχῃ ὡς φῂς, δι' αὐτὸ τοῦτο καὶ μείζονα εἶναι τοῦ Μητροπολίτου ἡ διαταγὴ διατάττεται ὑποκειμένου ὄντος Πατριάρχῃ. ἃς δὲ περὶ τοῦ σκοποῦ τούτου ἐν τῷ ια'. παραγράφῳ τοῦ εἰρημένου κεφ. κατασκευὰς ἐπιφέρει ἡ ἁγιωτάτη σου ψυχὴ, παρ' ἧς δέομαι δοθῆναί μοι συγγνώμη, τῆς τε ἀντιλογίας, καὶ ἐναγωνιωτέρας ἐνστάσεως, ὅτι δηλαδὴ ἐν τῇ χαλκιδόνι, Ἐπιφάνιος Ἐπίσκοπος Λεγάτος Ὀλυμπίου Ἐπισκόπου Κωνσταντίας, ἤτοι τοῦ Ἀρχιεπισκόπου Κύπρου, ἐκάθητο ἐν τόπῳ κθ'. καὶ εἰς τὴν ς'. Οἰκουμενικὴν ὁ Λεγάτος τοῦ Κύπρου ἐκάθητο καὶ ὑπέγραψε μετὰ τὸν Καισσαρείας, καὶ Ἐφέσου, ἀξιεπαίνους καὶ κατὰ τοῦτο ἡγοῦμαι, ἔργον γὰρ ἀντι-

κρυς διακρίσεως οἱ τοιοῦτοι εἰργάσαντο, Λεγάτοι ὄντες, καὶ τοῦ Ἀρχιεπισκόπου Ἐπίσκοποι, πρὸς τῷ ἀτόπῳ, σκαιὸν ἂν εἴη καὶ κακόηθες τῶν Προεστώτων καὶ ἐγκρίτων τῶν Πατριαρχῶν προκαθήζεσθαι καὶ προϋπογράφεσθαι Μητροπολιτῶν.

Εἰ δὲ καὶ ἐν ζ΄. παρὼν ὁ Κύπρου Κωνσταντῖνος ἐκάθητο, καὶ ὑπέγραψε μετὰ τὸν Καισσαρείας, καὶ Ἐφέσου, καὶ διὰ τοῦτο ἡ ἐπὶ τῆς ἐν Τρούλλῳ τάξις τῆς μετὰ τῶν Πατριαρχῶν ἀμέσως ὑπογραφῆς τοῦ Κύπρου Ἰωάννου, ὡς ἡ ἁγιωτάτη σου ψυχὴ ἀποφαίνεται ἠθετήθη. Γενομένης ταύτης τῆς τάξεως τότε καὶ προτιμήσεως κατὰ τὴν σὴν δόξαν, χάριν τοῦ ἀθροίσαντος τὴν Σύνοδον Ἰουστινιανοῦ, τοῦ καὶ τὴν Σαλαμῖνα ἀνακαινίσαντος, καὶ νέαν Ἰουστινιανούπολιν καλέσαντος, (καί τοι οὐχ οὗτος ἐστὶν ὁ ταύτην συναθροίσας, ἐπὶ γὰρ τοῦ κε΄. ἔτους τῆς αὐτοῦ βασιλείας, ἡ πέμπτη συνεκροτήθη Σύνοδος, ἡ δὲ ἕκτη τῷ δεκάτῳ τρίτῳ τῆς τοῦ Κωνσταντίνου πωγονάτου βασιλείας ἔτει, μεταξὺ τούτων διαδραμόντων ἐννέα καὶ τεσσαράκοντά τε πρὸς τοῖς ἑκατὸν χρόνοι·, Ἡ δ' αὖ ἐν Τρούλλῳ ἐπὶ τοῦ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου, καὶ τοῦ Κωνσταντίνου Πωγονάτου, κατὰ τὸν Ματθαῖον Βλάσταρην, οὗτος ἐστὶν ὁ ἀνακαινίσας τὴν Σαλαμῖνα) ἀγνοῶ τίσι τούτων προσήκει ὁ ἔπαινος, τῷ Καισσαρείας, καὶ τῷ Ἐφέσου, οὓς δι' ὀνομάτων αὐτὸς ἠξίωσας, οἵ τινες εἰσὶν ὁπωσοῦν τὰ ἐν Τρούλλῳ ἴδοιεν, πρέπον ἦν αὐτοῖς μικρὰν ὑποκριθῆναι προτίμησιν τῷ Κύπρου Κωνσταντίνῳ, ἀλλ' οὐ τύφῳ τὴν ἕδραν τε καὶ ὑπογραφὴν ἁρπάσαι τοῦ ἀνδρὸς, καὶ γὰρ γνώμῃ τῆς τότε ζ΄. Συνόδου τοῦτο γεγονέναι οὐδαμοῦ φαίνεται, εἰδέτου ἑωρᾶτο οὐκ ἄν σοι ἀπαξιωθείη γραφῆς, χρησίμου ὄντος ἐς τὰ μάλιστα τῷ σῷ ἐπιχειρήματι, ἢ τῷ Κύπρου Ἰωάννῃ αἰτίαν ἔχοντι προσεχεστάτην τὰ τῆς ἐν Τρούλλῳ προβαλεῖν καὶ τὴν οἰκείαν ἀναζητῆσαι τάξιν, παρ' οὐδὲν δὲ τὰ τοιαῦτα τιθεμένῳ, ἀλλὰ τῇ Χριστομιμήτῳ χρησαμένῳ πρᾳότητι, καὶ παράδειγμα ποιησαμένῳ τὸν αὐτόχθονα, καὶ πάντων ἀνθρώπων, πρᾳότατον Σπυρίδωνα, ἐν τῇ πρώτῃ Συνόδῳ, ἔργα μέν τοι μᾶλλον τῆς ὑψοποιοῦ ταπεινοφροσύνης, ἢ προεδρίαις τε, καὶ ὑπογραφαῖς, τῆς χαμεροῦς ἐπάρσεως ἐκλάμψαντά τε, καὶ δοξασθέντα.

Εἰ δὲ τὸ ἐπὶ Ἰωάννου ὦ Πάτερ ἁγιώτατε ἐπεὶ ἅπαξ γέγονε, καὶ ἀκανόνιστον, οὐκ ἔστι ναὶ μὴν καί περ ἀρχαιότερον καὶ τοῦ Βασιλέως χάρις κατάγε τὴν σὴν διδασκαλίαν, τυχὸν δὲ καὶ τῇ τῶν τε Πατέρων γνώμῃ, ἐν τοῖς ἡγεμόσι γὰρ τῆς ἕκτης Συνόδου ὁ Ἰωάννης ἦν γνωριζόμενος, καὶ συγκαταριθμούμενος, τὸ ἐπὶ Κωνσταντίνου ὀψιγενέστερον ὄν, καὶ βασιλικῆς τινος χάριτος ἄτερ ἴσως, καὶ παρὰ τὴν τῶν Πατέρων γνώμην, πῶς κανονισμοῦ τετύχηκε, καὶ νόμος γέγονεν ἐννομώτατος; ἐντέχνως ἔτι τῳόντι καὶ ἡ τοῦ Κουροαπαλάτου ὑπὸ τῆς σῆς διδασκαλίας μεταπεποίηται ἔννοια, τοὺς Βασιλεῖς λέγοντος, καὶ τοὺς τοιούτους προβάλλεσθαι ἀρχιεπισκόπους εἰς Κωνσταντινούπολιν χειροτονουμένους, καὶ βακτηρίαν αὐτοῖς παρέχειν, τοῦτ' αὐτὸ ᾧ περ ἐκεῖνος εἰς τιμὴν τῶν αὐτονόμων Ἀρχιεπισκόπων ἐχρήσατο, ἀποδεῖξαι βουλόμενος τὰ δευτερεῖα τούτους ἔχειν τῶν ἁγιωτάτων Πατριαρχῶν, κατάγε καὶ τῶν Συμεὼν θεσσαλλονίκης, ὑπ' αὐτοῖς ἧττον ἐλήφθη καὶ τοῦ Μητροπολιτικοῦ βαθμοῦ, ἐπιφερούσοις, ὅτι τούτῳ οὐ δίδωσί τι ἀξίωμα μεῖζον τοῖς αὐτονόμοις, καθ' ὅτι οἱ Βασιλεῖς προβάλλουσι, καὶ ἡγουμένους, καὶ Ἀρχιμανδρίτας Μοναστηρίων, ἀλλ' ἔδει προσειπεῖν αὐτὴν, ὅτι καὶ Πατριάρχας, τοῦτο δὲ φρονιμώτατα εἴασεν, ἐπεὶ τὸ ἐκ τούτου αἰδεσθεῖσα συμπέρασμα. Ὅπερ δὲ ἐν τῷ προειρημένῳ ὀγδόῳ κεφ. διατάττεται, ἡνίκα δηλαδὴ Ἐκκλησιαστική τις συμβῇ ἀμφιβολία αὐταῖς ταύταις τῶν αὐτονόμων Ἐκκλησίαις, οἱ τούτων προϊστάμενοι οὐ δύνανται μόνοι περὶ αὐτοῖς διακρῖναι χωρὶς τῆς γνώμης τῶν πλησιοχώρων Πατριαρχῶν, ἐκ τοῦ μέρους ἐπιχειροῦσα συναγαγεῖν τὸ καθόλου. ὅτι ἐπεὶ ὁ Ἀχρίδος καὶ διωρισμένως, χωρὶς τῆς τοῦ Κωνσταντινουπόλεως, γνώμης οὐ δύναται, ὡς ἐν βιβλίῳ πρώτῳ, τίτλῳ δευτέρῳ τοῦ Κώδικος, κεφαλαίῳ ἕκτῳ, διορίζεται, τὰς ἀναφυομένας ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ μὴ τέμνεσθαι παρὰ γνώμην τοῦ Κωνσταντινουπόλεως. καὶ βιβλίῳ πρώτῳ, τίτλῳ ὀγδόῳ διαταγῇ Ἕκτῃ, ἐν τῷ Ἰλλυρικῷ οἱ παλαιοὶ Κανόνες τῶν Ἐκκλησιῶν κρατήτωσαν, καὶ τίτλῳ τῷ αὐτῷ, διαταγῇ τρίτῃ, ὁ Ἀρχιεπίσκοπος τῆς πρώτης Ἰουστινιανῆς, τὸν τόπον ἐπέχει ἐν ταῖς ὑπ' αὐτὸν Ἐπαρχίαις τοῦ ἀποστολικοῦ θρόνου

Ρώμης, ἅμα καὶ αἱ λοιπαὶ τῶν αὐτονόμων Ἐκκλησιῶν τὴν τοιαύτην δὲ ἐπαγωγὴν ὁποίαν τινὰ οὖσαν οἱ συλλογιστικοὶ ἐξεταζέτωσαν. ἐκ γὰρ τῆς τοῦ Ἰλλυρικοῦ Ἐπαρχίας, Δαλματίας τὰ νῦν λεγομένης, καὶ κοινῶς Σκλαβονίας, κατὰ τὸν κὺρ Μελέτιον Ἀθηνῶν, τήν τε τῆς Ἀχρίδος καὶ τοῦ Πεκίου περιεχούσης Ἐκκλησίαν, τὸ, ἐν τῷ Κώδικι, τὰς ἀμφισβητήσεις ἐν ὅλῳ τῷ Ἰλλυρικῷ. καὶ τ. καὶ τὸ, ἐν τῷ Ἰλλυρικῷ οἱ παλαιοὶ καὶ τ. ἴσως ἦν πρὸ τῆς αὐτονομίας, ἐπεὶ οἱ λόγοι ἀμφότεροι ἁπλῶς καὶ γενικῶς λέγουσι περὶ παντὸς τοῦ Ἰλλυρικοῦ, ἐν ᾧ πλεῖσται καὶ ἄλλαι περιέχονται Μητροπόλεις τε καὶ Ἐπισκοπαὶ, αἵτινες πᾶσαι μετὰ τῆς Ἀχρίδος, καὶ Πεκίου ὑπὸ τὴν διοίκησιν ἦσαν τοῦ Κωνσταντινουπόλεως.

Καὶ γὰρ τὸ τελευταῖον καὶ ὅπερ δοκεῖ σφοδρότερον ἐπιχείρημα ἰδίως καὶ προσωπικῶς λεγόμενον περὶ τοῦ Ἀχρίδος, καὶ Καθαργένης, ἐν ᾧ ἔδει μάλιστα τεθεῖσθαι τὸν προσδιορισμὸν, οὐδὲν ἐμφαίνει τοιοῦτον, ἀλλ' ἅπερ μόνον τούτοις παρεσχέθη προνόμια, ὁ Ἀρχιεπίσκοπος γάρ φησὶ τῆς πρώτης Ἰουστινιανῆς τὸν τόπον ἐπέχει ἐν ταῖς ὑπ' αὐτὸν Ἐπαρχίαις τοῦ Ἀποστολικοῦ θρόνου Ρώμης, χειροτονῶν τοὺς Ἐπισκόπους τῶν Πόλεων τῶν τάδε Ἐπαρχιῶν, κατὰ τὸν ὅμοιον τῆς Ἱερωσύνης βαθμὸν, ὅν περ δεδώκαμεν τῷ Ἐπισκόπῳ Καθαργένης τῆς Ἀφρικῆς, καὶ φυλαττέσθω, καὶ τῷ Ἐπισκόπῳ τῆς Ἀφρικῆς τὸ ἱερατικὸν δίκαιον, καὶ τὸ δοθὲν αὐτῷ προνόμιον. Εἰ δ' αὖθις καὶ εἴπομεν μετὰ τὴν αὐτονομίαν λελέχθαι τὰ προρρηθέντα περὶ παντὸς τοῦ Ἰλλυρικοῦ, ἀντὶ τοῦ Ἀχρίδος, καὶ Πεκίου, καί περ ἀνακόλουθον ὂν, οὐδὲ οὕτω θαυμαστὸν, εἰ ὑποκειμένων ὄντων τὸ πάλαι τούτων τῷ Κωνσταντινουπόλεως, εἶτα δὲ αὐτονομίας τυχόντων προσεδιωρίσθη αὐτοῖς, καὶ οἱονεί τις ἐπετέθη χαλινὸς ἀναμνήσεως ἕνεκεν τῆς προτέρας ὑποταγῆς, πόσον γὰρ τὸ τῶν Ἰλλυρικῶν ἔθνος ἐπὶ κακίᾳ διαβεβόηται, δῆλον παρὰ τοῖς συγγραφεῦσιν, οὐ μὴν δὲ ἐκ τοῦ ἐν τῷ Ἰλλυρικῷ θεσπίσματος, μερικοῦ ὄντος καὶ ἀμφιβολίας ἐμπλέου, συνάγεται πάσας τὰς αὐτονομίας τῶν Ἀρχιεπισκόπων, μὴ δύνασθαι παρ' ἑαυτῶν τέμνειν Ἐκκλησιαστικήν τινα ἀμφιβολίαν. Εἴγε γὰρ τοῦτο οὕτω πως εἶχεν, οἱ Ἱεροὶ Πατέρες χάρτου καὶ μέλανος

οὐκ ἀκριβολογοῦντο, οὔτε μὴν ὄκνου, καὶ πόνου τινὸς ἐφείδοντο, πρὸς τοῖς εἰς ταύταις πεφιλοτίμηνται τῶν Ἐκκλησιῶν προνομίοις, καὶ τούτου ἐπιμνησθῆναι τῶν ἀναγκαίων ὄντως. ἀλλ' οὐδαμοῦ τοῦτο προστεθημένον φαίνεται, μάλιστα τοὐναντίον ἅπαν, ὡς πολλαχοῦ ἐπὶ τῶν τῆς κατὰ τὴν Κύπρον ἐρᾶται αὐτονομίας Κανόνων. Ταύτην γὰρ τῆς τῶν Ἀντιοχείας Πατριαρχῶν οἱ ἱεροὶ Κανόνες ἀπαλλάττοντες ἐνοχλήσεως πλησιοχώρων ὄντων, οὐδὲν τοιοῦτον τοῖς Κυπρίοις ἐθέσπισαν, προσπεσούσης ἤτοι ἀμφιβολίας τινὸς τούτους ἐρωτᾷν τοὺς πλησιοχώρους τῶν Πατριαρχῶν. οὐκ ἄδηλον ὅμως καὶ τοῖς ὁπωσοῦν τῶν ἐκκλησιαστικῶν πεῖραν ἔχουσιν, ἡνίκα ταύταις ταῖς Ἐκκλησίαις στάσις τις ἐμπέσῃ μεταξὺ τοῦ τε Ἀρχιεπισκόπου, καὶ τοῦ ὑπ' αὐτὸν Κλήρου, ἤ τις περὶ τὴν πίστιν αἵρεσις ἢ καὶ ἄλλη τις τοιαύτη ἀμφιβολία, οἷα μὴ δύνασθαι παρ' ἑαυτοῖς τέμνεσθαι, ἀνατρέχειν τούτους, τοὺς μὲν τῆς Ἀχρίδος, τῆς τε κάτω ἰβηρίας, καὶ τοῦ Πεκίου, πρεπόντως, μᾶλλον δὲ καὶ ἀναγκαίως πρὸς τὸν Κωνσταντινουπόλεως, τὸν δὲ τῆς ἄνω ἰβηρίας πρὸς τὸν Ἀντιοχείας, ὡσαύτως δὲ καὶ τὸν Καθαργένης, καὶ διεσώζετο πρὸς τὸν Ἀλεξανδρείας, ὡς ὑπ' αὐτοὺς ἑκάστους ἕκαστοι τὸ πάλαι ὑποκείμενοι ἐτύγχανον. Τὸν δὲ τῆς Κύπρου οἰκείᾳ μὲν βουλήσει, οὐ μὴν δὲ διωρισμένως τε καὶ ἀναγκαίως πρός τινα τῶν πλησιοχώρων Πατριαρχῶν τῆς Ἀλεξανδρείας φημὶ, ἢ Ἀντιοχείας, καὶ Ἱερουσαλὴμ, ὡς πρός τινα αἱρετὸν Κριτὴν, εἰδ' οὐ βουλητὸν αὐτοῖς πρὸς τὸν Κωνσταντινουπόλεως ἀναγκαίως, καὶ τὴν ἐν ταύτῃ ἱερὰν Σύνοδον, ὡς πολλάκις τοῦτο οἱ Κύπριοι, θάτερον θ' ἥκιστα πεποιηκότες ὤφθησαν.

Οὐδεὶς γὰρ Πάπας, ἢ Πατριάρχης, ἢ ἄλλος Ἐπίσκοπος μόνος ἔκρινε νέαν αἵρεσιν, ἢ μόνος ἐπίστευσε τῇ ἑαυτοῦ γνώσει, ἢ προσεδόκησεν ἀποκάλυψιν παρὰ θεοῦ περὶ τῶν ἀμφισβητουμένων, ἀλλὰ πάντοτε κατέφυγον πρὸς τὸ κοινὸν Κριτήριον, ὅπερ ἐστὶν ἡ Σύνοδος, καὶ γὰρ οὐ μόνον ὁ Ἀχρίδος Δημήτριος εἰς Βασιλέα χρίσας τὸν Θεόδωρον παρὰ τὴν γνώμην ταύτης, καὶ ὁ Κύπρου Ἀθανάσιος, ὡς ἐν τῷ θ'. κεφ. τοῦ ια'. βιβλίου αὐτῆς Ἱστορεῖ, ἐπὶ Ματθαίου Πατριάρχου Κωνσταντινουπόλεως, περίπου τὸ αχ. ἔτος Σωτήριον, ἀθεμιτο-

γαμίας ποιῶν, καὶ ἄλλα τινὰ τῶν ἀθέσμων, κατεκρίθησαν, καὶ καθηρέθησαν, ἀλλὰ πολλοὶ καὶ τῶν Πατριαρχῶν, καὶ λοιπῶν Ἐπισκόπων μόνοι διωρίσαντες ἥμαρτον ἐς τὰ μάλιστα, καὶ σφοδρότατα κατεκρίθησαν, καὶ ἐπαιδεύθησαν. Μόνη γὰρ ἡ Σύνοδος ἄπταιστος, ᾗ τινι ὁ ἀνθιστάμενος ὁποίας ἂν εἴη τάξεώς τε καὶ βαθμοῦ αἱρετικὸς πάντως νομίζεταί τε καὶ εἶναι. Ἀλλὰ τί με δεῖ μακριγορεῖν ἐφ' οἷς ὁ τῆς προθέσεως οὐκ ἔστι σκοπὸς, καὶ ταῦτα καταδήλοις οὖσι, μόνον δὲ τούτων ὑπεραπολογηθῆναι τῶν αὐτονόμων Ἐπισκοπῶν, καὶ τῶν ἐπ' αὐταῖς καθισταμένων Ἐπισκόπων, οἷς τὸ μή τινι τῶν Πατριαρχικῶν ὑποκεῖσθαι θρόνῳ ἐντὸς ὀλίγου κινδυνεύει ἐπάξαι κατὰ τὴν σὴν διάταξιν ὄνειδος, καὶ περιφρόνησιν οὐ τὴν τυχοῦσαν, διὰ τὴν τῶν προνομίων ἀδιαφορίαν τε καὶ ἀλυσιτέλειαν. Εἰ γὰρ ὅπερ τῷ ὑπ' ἐξουσίῳ Μητροπολίτῃ ἐντέταλται, τοῦτ' αὐτὸ καὶ τῷ αὐτονόμῳ Ἀρχιεπισκόπῳ, τίς ἔτι τῆς αὐτονομίας ἡ χρῆσις; Ἀλλ' εἴγε ὦ Δέσποτα οὐ συγχώρηται τούτοις Ἐκκλησιαστικήν τινα τέμνειν ἀμφιβολίαν, πῶς ἐν τῇ τοῦ Ἀποστολικοῦ λειψάνου διηγήσει εἴρηται, ἤτοι εἴρηκας τὸν Ἀρχιεπίσκοπον Κύπρου ἐπὶ Μανουὴλ τοῦ Κωμνηνοῦ κρῖναί τε καὶ καθῆραι Ἐπίσκοπον μετὰ ἕνδεκα αὐτοῦ Ἐπισκόπων Συνόδου; ὁ Κωνσταντινουπόλεως Λουκᾶς τὴν κρίσιν ταύτην ἠθέτησε παρανόμως; μὴ γὰρ καὶ τοῦτο οὐκ ἔστι τῶν Ἐκκλησιαστικῶν ἀμφιβολιῶν, ἢ ἀμφισβητήσεων, καὶ ἡ Ἀρχιερατικὴ καθαίρεσις οὐκ ἔστι τομή; ἀλλὰ τοῦτο τινὶ τῶν πλησιοχώρων ἁγιωτάτων Πατριαρχῶν ὁ Κύπρου οὐκ ἀνέφερεν, οὐδὲ περὶ τούτου αὐτὸς κατακρίνεται, τοῦτο μέντοι εἰ ἔξεστι τινὶ καὶ τῶν μειζόνων Πατριαρχικῶν Μητροπολιτῶν, ὧν ἡ αὐτῆς διδασκαλία ὑποβιβάζει τοὺς αὐτονόμους τῶν Ἀρχιεπισκόπων, κρῖναί τε καὶ καθῆραι Ἐπίσκοπόν τινα τῶν ὑπ' αὐτῷ, δίχα τῆς βουλῆς τοῦ ᾧ περ ὑπόκειται Πατριάρχου οὐκ οἶδα.

Ἔτι δὲ ἐπιμνησθῆναι αὐτὴν ἔδει, καὶ τὸ ὅπερ ἔκ τε τοῦ Σωκράτους καὶ Σωζομένου μετήληπται ὑπ' αὐτῆς, καὶ ἐν κεφ. δεκάτῳ, παραγράφῳ ε'. τοῦ τρίτου αὐτῆς ἱστόρηται βιβλίου, Τὸν Ἐπιφάνιον Κύπρου διὰ προτροπῆς τοῦ περιβοήτου ἐκείνου Θεοφίλου Ἀλεξανδρείας πρῶτον συναθροῖσαι τε, καὶ συγκροτῆσαι Σύνοδον τοῖς ὑπ' αὐ-

τὸν Ἐπισκόποις, καὶ τὰ Ὠριγένους ἀναθεματῆσαι βιβλία, μετὰ τοῦτον δὲ κἀυτὸν τὸν Θεόφιλον Σύνοδον τῶν ὑπ' αὐτῷ Ἐπισκόπων ἀθροίσαντα, τὰ αὐτὰ πεποιηκέναι τῷ Ἐπιφανίῳ, εἶτ' ἀμφότεροι τῷ Κωνσταντινουπόλεως Χρυσοστόμῳ γεγράφασιν, ἵνα τὰ αὐτὰ ποιήσῃ, ἥκιστα μέντοι καὶ παρὰ τούτου ᾐτιάθη ὁ Ἐπιφάνιος, καί περ ὡς οἶμαι ἀκριβολίας Ἐκκλησιαστικῆς οὐ τυχούσης τυγχάνοντος, ἐπεὶ καὶ ὕστερον διὰ Συνόδου οἰκουμενικῆς τὰ τοῦ Ὠριγένους ἀναθέματι καθυποβέβληται. δι' ἃ τοίνυν τήν τε ἀρχαιότητα, καὶ ἄλλα συμπεραίνεται τὸν Γουλιέρμον εἰπεῖν, ὅτι τῷ τῆς Κύπρου Ἐπισκόπῳ δέδοται ὑπ' ἐνίων καὶ τὸ Πατριάρχου ὄνομα, ἅτε δὲ ποιοῦντι ἐν τῇ ἑαυτοῦ διοικήσει οἷα καὶ Πατριάρχης εἰς τὴν ἑαυτοῦ ποιεῖ, οὐ μὴν δὲ καὶ ὁ μείζων τῶν Πατριαρχικῶν Μητροπολιτῶν, ἀνθ' ὅτου καὶ ἡ διαταγὴ τῶν νεαρῶν, τὸν Ἰουστινιανῆς μείζονα εἶναι τοῦ Μητροπολίτου διατάττεται. Καὶ γὰρ περὶ μὲν τῶν ἄλλων αὐτονόμων Ἀρχιεπισκόπων οὐχ εὗρον, περὶ δὲ τῶν τῆς Κύπρου οἶδα σαφῶς ἐν τῷ τοῦ Σωζομένου βιβλίῳ η'. κεφ. ιδ'. ὡς οἱ ταύτης Ἀρχιεπίσκοποι εἰς τὴν Κωνσταντινούπολιν ἀφικόμενοι, ὑπὸ τῶν ταύτης Πατριαρχῶν ὑποδέχοντο, καθ' ὃν τρόπον οἱ Πατριάρχαι, λέγει γὰρ ὁ Σωζόμενος, ὅτι τῷ Ἐπιφανίῳ Κύπρου τόπον ηὐτρέπησεν ὁ Χρυσόστομος ἐν τῇ Ἐκκλησίᾳ, ἐτίμησε δὲ τοῦτον, καὶ τοῦ Κλήρου παντὸς ὑπ' αὐτῇ.

Τούτων δὲ ὑπομνησθεὶς τολμηρότερον μετὰ συγγνώμης ἀπεκρίθην, οὐχ ὅτι γε δεῖ μετοχῆς τινὸς τοῦ Πατριαρχικοῦ ὀνόματος τοὺς αὐτονόμους τῶν Ἀρχιεπισκόπων ἀντέχεσθαί τε καὶ ἀντιποιεῖσθαι, ἄπαγε τοῦ διακένου καὶ δοξοκινοῦντος τοιούτου λογισμοῦ, καὶ τῆς κατ' ἐξοχὴν τούτου τοῦ ὀνόματος ἀμαθείας, ἀφιερωθέντος ὑπὸ παλαιᾶς συνηθείας, καὶ βεβαιωθέντος ἐν τῷ καθ' ἡμᾶς δεκάτῳ ὀγδόῳ αἰῶνι, διὰ συνοδικῶν ὅρων τε, καὶ ἀρῶν, ἐπὶ τῶν ἡμερῶν τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυροῦ Καλλινίκου ταῖς ἐν παντὶ τῷ Ἐκκλησιαστικῷ συστήματι μεγίσταις πέντε κάραις, ταῖς πέντε ὅλου τοῦ σώματος ἀναλογούσαις αἰσθήσεσι, καὶ ὑπὲρ ταύτας ἕκτης, ἢ καὶ ἐπέκεινα οὐκ οὔσης. Ἀλλ' ἵνα μὴ κατὰ μικρὸν τὰ τῆς Αὐτονομίας τούτων προνόμια μάταια γένηται, καὶ ἐξίτηλα, εἰ γὰρ τοῖς

ὑπὸ νόμον, καὶ κεφαλὴν (δεδόσθω μοι καὶ οὕτως εἰπεῖν) Πατριαρχικοῖς Μητροπολίταις, κἀυτοῖς πόσοις καί τισιν ἄδηλον, ὡς ἡ αὐτῆς παρεγγυᾷ διδασκαλία τῇ τε τάξει, καὶ τιμῇ οἱ αὐτόνομοι, καὶ αὐτοκέφαλοι τῶν Ἐπισκόπων ὑποταγήσονται, Μάταιον ἔσεται τότε τὸ Αὐτόνομον, καὶ Αὐτοκέφαλον, ἐπεὶ βέλτιόν τε καὶ τιμιώτερον τὸ ὑπὸ νόμον, καὶ κεφαλήν. Εἰ δὲ καί τι βαθύτερον, ἢ κατὰ τὴν ἐμὴν γνῶσιν ἡ Φιλόσοφος αὐτῆς ἐννοείη διδασκαλία, ὡς τὸ αὐτόνομον τοῖς αὐτονόμοις τούτοις μερικόν ἐστι δῆθεν, καὶ ἐν μόναις ταῖς παροικίαις αὐτῶν ἐνεργούμενον, καὶ περιοριζόμενον, συνίημι, καὶ ὅτι ἀληθὲς σύμφημι. δι' αὐτὸ μέν τοι τοῦτο ἔδει τούτους, καὶ ἐπ' ἀλλοτρίας, ἀνωτέραν ἔχειν τάξιν τε καὶ τιμὴν, οἷς τοῦτο τὸ αὐτόνομον κἂν ταῖς ἰδίαις οὐκ ἐφεῖται Ἐπαρχίαις. Εἰ δὲ καὶ τὸ αὐτόνομον αὐτοῖς περιοριστικόν ἐστι, καὶ περιγραφόμενον, πῶς καὶ τοῦτο ἀναιρεῖ διατάττουσα; ἡνίκα δηλαδὴ συμβῇ τὶς αἰτία μετά τινος τῶν ὑπὸ τὴν Ἐπαρχίαν αὐτῶν τῶν αὐτοκεφάλων, τοὺς Πατριάρχας γράφοντας αὐτοῖς ὑπὲρ τοῦ δικαίου, οὐδ' ἐπιστολῶν ἐσφραγισμένων ἔξωθεν, καὶ συμβουλευτικῶς, ἀλλὰ διὰ γραμμάτων συνοδικῶν ἀνεωγμένων τε, καὶ προστακτικῶς δεῖ γράφειν αὐτοῖς, οὐκ ἐπιτρέπουσα τούτοις τοῖς αὐτονόμοις μέχρι καὶ τῆς τυχούσης πολιτικῆς ὑποθέσεως. ἢ γοῦν συμβουλευτικῶς διορίζειν τὶ, ἢ τέμνειν, πῶς δὲ καὶ ταῦτα δικαίου ὅλως, ἢ καὶ εὐπρεποῦς τινὸς ἕξεται, ὅπου γε τοῖς μὲν ὑπὸ τοὺς ἁγιωτάτους Πατριάρχας Μητροπολίταις τὰ τῆς προσταγῆς κατά γε τὸν σκοπὸν τῆς εἰσηγήσεως ταύτης παρ' οὐδενὸς ἄλλου τῶν Πατριαρχῶν ἀμέσως συγκεχώρηται γίνεσθαι, εἰμὴ μόνον παρὰ τοῦ ὑφ' ὃν ὑπόκειται Πατριάρχου, τοὺς δ' αὐτονόμους πᾶσι τοῖς Πατριάρχαις ὑποκεῖσθαι διδάσκει; εἰ ὑπ' οὐδενὸς τούτων (φεῦ τοῦ δικαίου) συμβουλεύεσθαι, ἀλλὰ προστάττεσθαι;

Ἀλλ' ὁ ῥηθεὶς Ἀλεξανδρείας Θεόφιλος τὸν Κύπρου Ἐπιφάνιον οὐκ ἐπρόσταξε, συνεβούλευσε δὲ καὶ ἔπεισεν οἰκεῖαν συγκροτῆσαι κατὰ τοῦ Ὠριγένους Σύνοδον, ὡς ὁ Σωκράτης Ἱστορεῖ βιβλίῳ ἕκτῳ, κεφ. ιγ'. τὸ δὲ ἐσφραγίστως, ἢ καὶ ἀσφραγίστως, καί περ ἐν τοῖς καθ' ἡμᾶς χρυσοῖς, καὶ πρὸς τὰ τοιαῦτα περιέργοις αἰῶσι τεχνολογίας τετύχη-

κε, καὶ ἀκριβοῦς παρατηρήσεως, ὡς οὐδενὸς μέντοι λόγου ἄξιον παρέλειπεν ὁ τῶν Ἐκκλησιαστικῶν συγγραφεύς. εἰδὲ καὶ εὐπρεπείας, εὐταξίας τε καὶ τοῖς παρ' ἀνθρώποις χρηστοηθείας μετοχήν τινα ἔχειν τὸν αὐτόνομον προστάττεσθαι ὡς τὸν ὑπεξούσιον, τοῖς πολιτικοῖς ἐξεταζέσθω, καὶ κρινέσθω.

Τὸ δὲ ἡνίκα τοὺς αὐτονόμους τούτους ἐπὶ ξένης Ἐπαρχίας τοῖς μὴ ὑπ' αὐτοῖς συλλειτουργοῦντας Μητροπολίταις, τούτους μὲν τοὺς Μητροπολίτας ὅτι τοῦ ἑαυτῶν Πατριάρχου δεῖ μνημονεύειν, δίκαιον ἄντικρυς κριθείη, καὶ εὔλογον. τούτους δὲ πάσης Ἐπισκοπῆς μνημονεύειν πῶς οὐ συγκεχώρηται, μηδενὸς ὄντος τοῦ τοῦτο θεσπίζοντος θεσμοῦ, καὶ ταῦτα ἐν τῷ πάσης Ἐπισκοπῆς, καὶ ὁ κατὰ τόπον περιέρχεται Πατριάρχης. Διακελεύεται παρὰ ταῦτα ἡ ἁγιότης αὐτῆς, ὡς ἐν ὅσῳ τὶς τῶν ἁγιωτάτων Πατριαρχῶν ἐνδημεῖ ταῖς τοιαύταις τῶν αὐτονόμων διοικήσεσι, τοὺς τούτων προϊσταμένων Ἱερουργοῦντας τούτου δέειν μνημονεύειν, ἀλλὰ τοῦτο ὡς οὐδ' ὁ τυχὼν Πατριαρχικὸς ποιεῖ Μητροπολίτης πασίδηλον, ἕνα γὰρ καὶ μόνον τὸν ἑαυτοῦ γινώσκων δεσπότην αὐτοῦ μνημονεύει. Εἰδὲ καὶ οἱ τῆς Ἰβηρίας τοῦτο ποιοῦσιν, ἀλλ' εἴρηται, ὅτι τὸ πάλαι τοῖς Πατριαρχικοῖς θρόνοις ἐτέλουν ὑποκείμενοι, ὅθεν καὶ ἀπεμφαῖνον οὐδὲν, τινὸς τούτων ταῖς αὐτῶν ἐνδημοῦντος διοικήσεσιν, εἴγε μνημονεύειν αἱροῦνται, χάριν τῆς ἧς πρὸς αὐτοὺς πεποίηνται φιλοτιμίας διὰ τὸ αὐτόνομον.

Εἶτα ὦ δέσποτα δεδόσθω ὡς οὐ κατὰ τοῦτο τὴν τοιαύτην μνείαν ποιεῖσθαι αὐτοὺς, κατὰ μέρος μέν τοι καὶ ἀκανόνιστον, πῶς ἐνταῦθα κοινὸν ἐκλαμβάνεσθαι, καὶ ἀναντιρρήτως κανονίζεσθαι χρή; ὅπου γε ἡ τοῦ θείου Χρυσορρήμονος πρὸς τὸν Κύπρου Ἐπιφάνιον ὑποδοχὴ, καὶ ἡ ἐν Τρούλλῳ τάξις, οὐδὲ μνήμης ἀξιοῦνται τοῖς καθ' ἡμᾶς πνευματικοῖς προεστῶσιν, ἀλλ' ἀντὶ τούτων καὶ δίχα βακτηριῶν ἐπ' ἀλλοτρίας διοικήσεως τοὺς διαδόχους αὐτῶν, καὶ τοὺς λοιποὺς τῶν αὐτονόμων περιπατεῖν διακελεύεται. ἐκ τούτου δὲ δυοῖν θάτερον ἕψεται, τὸ πάλαι ραυδούχους, καὶ ἐπ' ἀλλοτρίας περιπατεῖν αὐτοὺς, τινὸς δὲ τῶν Ἱερῶν Κανόνων, καὶ βασιλικῶν νόμων τοῦτο μὴ ἐμποδίσαντος, ἢ ἐφ' ἡμῶν καλῶς διασκεψαμένοι, καὶ τοῦτο ἐπὶ διορθώσε-

ως ἠξίωσαν οἱ οὐδέποτε μετ᾽ αὐτῶν περιεπεπατήκεισαν, καὶ πῶς τό γε νῦν ἔχον διαπρᾶξαι τοῦτο θαρρήσουσιν, εἰ οὐ μόνον τῶν οὐσιωδεστέρων στερηθῆναι διδασκόμενοι, ἀλλὰ δὴ κἀυτῶν ἀπογυμνωθῆναι τῶν ἐπουσιωδῶν, πρὸς γὰρ τούτοις καὶ ταῦτα ἡ ἁγιότης αὐτῆς ἐντέλλεται, γράφοντας αὐτοὺς τοῖς ἁγιωτάτοις Πατριάρχαις Μητροπολίταις τε καὶ Ἐπισκόποις τοῖς μὴ ὑφ᾽ αὐτούς, τίτλοις, ἢ γράμμασιν ἐρυθροῖς, καὶ πρασίνοις μὴ χρῆσθαι, ἀλλ᾽ ὅσον μὲν περὶ τίτλου, ἐπιγραφῆς τοῖς εὐφρονοῦσι νουθεσίας, καὶ φυλακῆς ὄντος ἄξιον, διά τε τὸ ὑπερέχον τῶν πρὸς οὓς γράφουσι Πατριαρχικοῦ ἀξιώματος καὶ τὸ ἀμέτοχον τῶν Πατριαρχικῶν Μητροπολιτῶν τε, καὶ Ἐπισκόπων, ὅσον δὲ περὶ τῶν χρωμάτων τί χρὴ καὶ λέγειν; μὴ γὰρ ἁρπακτικῷ τινι, ἢ κλοπιμαίῳ τρόπῳ τὰ τοιαῦτα κεκλόφασι, καὶ διὰ τοῦτο αἰσχύνην ὀφλισκάνουσι τὰ παρασχεθέντα ἀνέκαθεν αὐτοῖς Ἐκκλησιαστικὰ προνόμια, καὶ παράσημα, μνήμης ἕνεκεν τῶν δεδωκότων πρὸς Πατριάρχας, Μητροπολίτας τε καὶ Ἐπισκόπους ἐμφανίζοντες, εἰς χρέος ἐπάναγκες, οὐχ ὅπως τὰ τῆς θείοις πατράσιν, ἀλλὰ δὴ καὶ τά τοῖς Χριστωνύμοις Βασιλεῦσι χορηγηθέντα ταῖς τυχούσαις τῶν Ἐκκλησιῶν διαφυλάττειν τε καὶ κρατύνειν, περὶ μὲν τῶν ἄλλων αὐτονόμων σαφῶς οὐκ οἶδα, περὶ δὲ τῶν παρὰ τῶν τῆς Κύπρου Ἀρχιεπισκόπων ὁποίων δηποτοῦν ἀναφορῶν πρὸς τοὺς ἔξω μέχρι καὶ νῦν κρατοῦντας γινομένων, ἐὰν μὴ τοῖς ἐρυθροῖς αἱ τοιαῦται ἐσφραγισμέναι τύχωσι γράμμασι, τὸ πιστὸν παρὰ τούτοις οὐκ ἔχουσιν, εἰδόσι κατὰ παράδοσιν τὰ ἀρχαῖα τῆς Κύπρου παράσημα. Διὸ καὶ ἥκιστα τούτους ἡ ἐρυθρόγραφος ὑπογραφή τε καὶ σφραγὶς παρενοχλεῖ, εἶα δὴ πολλάκις διὰ τοῦ ἐρυθροῦ τὸ τοῦ Ἄνακτος γράφοντας ὄνομα, ἀλλ᾽ οἱονεὶ τὴν τοῦ πράγματος ἀρχαιότητα, καὶ τοὺς τοῦτο παρασχόντας αἰδούμενοι, ἀτρεμοῦσι τε καὶ ἡσυχάζουσι, πρὸς δὲ τοὺς τῶν Ἐκκλησιῶν Προϊσταμένους τοῦτο μὴ γίνεσθαι, ἀπορῶ τί τὸ κωλύον;

Θαυμάζω τοινυν μοί ἔπεισι πῶς οὐκ ἀπαναίνεται γράφειν τε καὶ λέγειν αὐτοὺς μακαριωτάτους, καὶ ἡ μετριότης ἡμῶν, γράφοντας οὐκ ἀπείργεται; ἀλλὰ φείσοιτο τούτων ὁ θεὸς, ἵνα μὴ καὶ τοῦτο πρὸς

τοῖς ἄλλοις κατὰ μικρὸν νομοθετηθείη. ἦν δὲ ὦ δέσποτα καὶ οἷα τὶς προνοητικὸς Πατὴρ τῆς Ἐκκλησιαστικῆς ἀντεχόμενος εὐταξίας, τὸ σεμνόν τε καὶ ταπεινόφρον τοὺς αὐτονόμους τῶν Ἐπισκόπων ἐκδιδάσκεις, διά τούτων τε καὶ δι' οὗ ἐπιφέρεις ὡς ὁ Ἀρχιεπίσκοπος Κύπρου Ἐπιφάνιος γράφων τῷ Κωνσταντινουπόλεως Ἰγνατίῳ ἐν ἔτει. ωξθ'. ἔλεγε, μὴ τελμῶν ὁ ἀνάξιος καὶ πανευτελὴς τοῦ πανιέρου καὶ ἰσαγγέλου δεσπότου μου δοῦλος γράφω, οὗτος μέν τοι οὐκ ἦν Ἀρχιεπίσκοπος, ἀλλὰ τῷ Ἀρχιεπισκόπῳ Κύπρου Ἐπίσκοπος, ὁ γὰρ Ἐπιφάνιος Ἀρχιεπίσκοπος ἤκμαζεν ἐπὶ τῶν ἡμερῶν Ἰωάννου τοῦ Χρυσοστόμου, ὡς ἐστι δῆλον, ἐν πολλοῖς, καὶ τῷ χρόνῳ. μετ' ἐκεῖνον δὲ, Ἐπίσκοποι μὲν ἐν τῇ Κύπρῳ Ἐπιφάνιοι ἐχρημάτησαν οὐκ ὀλίγοι, Ἀρχιεπίσκοπος δὲ οὐδεὶς φαίνεται εἰς τὰ σωζόμενα Ἱστορικὰ περὶ τῶν ἐν Κύπρῳ Ἀρχιεπισκοπευσάντων. εἰδ' αὖ καὶ Ἀρχιεπίσκοπος ἦν οὗτος, ἄτοπον οὐδὲν διεπράξατο οὑτωσὶ γράψας, μάλιστα δὲ καὶ πρεπωδέστατον, καὶ γὰρ Ἰωάννης Ἱεροσολύμων τῷ Κωνσταντινουπόλεως Ἰωάννῃ τῷ δεσπότῃ μου εἶπεν, Οἰκουμενικὸν ὁμολογήσας αὐτὸν, καὶ Πατέρα Πατέρων ὡς κεφ. ια'. παραγράφῳ...... τοῦ πέμπτου βιβλίου, τῆς αὐτῆς ταύτης βίβλου ἱστορεῖται παρὰ τῆς σῆς Μακαριότητος.

Ἔδει τοίνυν, ἁγιώτατε Πάτερ, καὶ τοὺς μετ' ἐκεῖνον ἁγιωτάτους Πατριάρχας (εἰ ἔξεστι κἀμοὶ τῷ ὀλιγομαθεῖ, ἐραστῇ δὲ τῆς ἀληθείας ἀδεκάστῳ γνωμοδοτεῖν) τοῦτ' αὐτὸ πρώτους διαφυλάττειν, ἵνα τῷ αὐτοὺς ὑποδείγματι καὶ τοὺς ἄλλους διδάξωσι. Γραφεὺς γὰρ διδάσκει φησὶν ὁ πολὺς ἐν Θεολογίᾳ Γρηγόριος, τὸ πλέον τοῖς ἐκ τύποις καὶ ὁ τῶν καθηγεμόνων Καθηγητὴς, ποιεῖν τε καὶ διδάσκειν ἐνετείλατο, ἀλλ' αὐτὸς αὖθις ἐν ἄλλοις κελεύει, ἃ λέγουσιν ὑμῖν ποιεῖν ποιεῖτε. Ὅθεν τὸ μὲν οἰκουμενικὸν λέγειν τε καὶ γράφειν δεσπότην καὶ αὐθέντην τοὺς αὐτονόμους τῶν Ἐπισκόπων, οὐ μόνον πρέπον, ἀλλὰ καὶ χρέος ἡγοῦμαι, μὴ χρῆσθαι δὲ καὶ τίτλοις πρὸς αὐτὸν γράφοντας, τῇ δ' ὑπογραφῇ ὁ πώς ποτε ἐχούσῃ τῷ χρώματι οὐδὲν τῶν ἀτόπων, ἢ νεοφανῶν ἔψεται, Ἀρχαῖον γὰρ δῶρον, καὶ ὡς τίμιον τούτοις πεφιλοτίμηται. πρὸς δὲ τοὺς λοιποὺς τῶν ἁγιωτάτων Πατριαρχῶν γραφέ-

τωσαν ὡς αἱροῦνται, καὶ λεγέτωσαν, τῷ ταπεινοτέρῳ δὲ χρῆσθαι πάντας, καὶ ἐν ἅπασι, δεσποτικὴ ἐστὶν ἐντολή, Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος λέγουσα, ἔστω πάντων ἔσχατος. καὶ γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Φυλάττεσθαι μέντοι καὶ τὰ ἀρχαῖα Ἐκκλησιαστικὰ προνόμια, οἵθ' ἱεροὶ Κανόνες, καὶ οἱ θεῖοι νόμοι διακελεύουσι, πρὸς δὲ τούτοις καὶ τὸ τοῦ σοφοῦ παράγγελμα, Μὴ δὸς ἑτέρῳ τὴν δόξαν σου λέγων. Τὸ γὰρ ἐν ὅσῳ τινὲς τῶν ἁγιωτάτων Πατριαρχῶν ἐνδημοῦντος ταῖς αὐτονόμοις τῶν Ἀρχιεπισκοπῶν μνημονεύειν τούτου τοὺς Ἀρχιεπισκόπους ἱερουργοῦντας, καὶ δίχα τοῦ πλησιοχώρου Πατριάρχου μὴ δύνασθαι τούτους Ἐκκλησιαστικήν τινα τέμνειν ἀμφιβολίαν, ὁμοίως καὶ ἥντινασοῦν ἀμφισβήτησιν τινὲς τῶν ὑπ' αὐτοῖς, καὶ μὴ συμβουλευτικῶς τοὺς Πατριάρχας γράφειν τούτους ἀλλὰ προστακτικῶς. τούτων τε τῶν αὐτονόμων τῇ τε τάξει καὶ τιμῇ προηγεῖσθαι τοὺς Πατριαρχικοὺς Μητροπολίτας, καὶ ὅσ' ἄλλα, οὐ μόνον τὴν τούτων αἴρει δόξαν τὸ αὐτόνομον οὖσαν, καὶ τὸ αὐτοδέσποτον, ἀλλὰ καὶ πολυκοιρανίαν ὡς ἔφην, τούτοις ἐπάγει, καὶ πληθυνομίαν ὡς οὕτως εἴποιμι.

Καὶ γὰρ ὁ Πηλουσιότης Ἰσίδωρος πρός τινα Λεόντιον Ἐπίσκοπον γράφων συμβουλεύει, ὅτι οὐ χρεία ἢ πᾶσι τοῖς ἀνέμοις ὑπείκειν, ἀλλ' ἔστιν ὅτε καὶ ἀντίπρωρον αὐτοῖς ἀντίστασθαι, μήποτε οὗτοι μεγαλυνόμενοι τῶν οἰάκων ἐκτινάξωσι τοὺς οἰακοστρόφους, καὶ ὡς ἕνα τῶν ἰδιωτῶν αὐτοὺς ἀποκαταστήσωσιν, εἶτα τοῦ μὲν φόρτου ἐγκρατεῖς γένωνται, τοῦ δὲ σκάφους μεῖστμον ἐργάσωνται πολυσκέδαστον. Το γὰρ ἕκαστος ἐν ᾧ ἐκλήθη, ἐκεῖ καὶ μένειν ὀφείλει, καὶ μὴ μεταίρειν ὅρια αἰώνια, ἃ οἱ Πατέρες αὐτοῦ ἔθεντο, οὐχ ἧττον τοῖς ὑπερπηδῶσι ταῦτα, ἢ καὶ τοῖς παρορῶσι, καὶ προϊεμένοις προσήκει, πολλοὶ γὰρ πολλῶν οἰκείων καὶ νομίμων ὑστέρηνται ὑπὸ τῆς ἄγαν αὐτῶν ἀπροσεξίας, καὶ τῷ μήκει τοῦ χρόνου ξένοι τούτων καὶ ἀλλότριοι τὸ παράπαν τοσοῦτον γεγόνασιν, ὥστε καὶ οἱ μετ' αὐτοὺς ἐὰν ἀγωγήν τινα εἰς τὴν τοῦ δικαίου ἀποκατάστασιν βουληθεῖεν κινῆσαι, μωρίας ἔγκλημα, καὶ παρανομίας ὑφίστανται, καὶ ὑπὸ τῶν ἀκουόντων ἐμπαίζονταί τε ὡς ὀνειροπολοῦντες καὶ μυκτηρίζονται, ὥς ἐστι

δῆλον ἐν πολλοῖς τε ἄλλοις, καὶ ἐν τοῖς Κυπρίοις μάλιστα, περὶ ὧν ὁ λόγος, δι' οὓς καὶ τὴν ἀρχὴν ὥρμηται. Τούτων γὰρ οἱ πρόγονοι ταῖς ἑαυτῶν ἀρεταῖς τὴν Μητέρα αὐτῶν ἁγίαν Ἐκκλησίαν, οὐ μόνον αὐτονομιῶν προνομίοις ἐτίμησαν, ἀλλὰ καὶ ὡς χρηστόπαιδες τὴν προικοδότησαν, καὶ τὴν τῆς Ἑλλησπόντου Ἐπαρχίας προσθήκην ἐπαυξήσαντες διὰ Συνοδικῶν Κανόνων οἱονεὶ ἀμετακινήτων τε καὶ ἀτρέπτων χρυσοβούλλων ταύτην ἐβεβαίωσαν, ἡ δ' ἀμέλεια τούτων, καὶ τὸ ἀπρονόητον, οὐ μόνον αὐτὴν ἀνάρπαστον γεγονέναι εἴασαν, ἀλλὰ καὶ τῶν λοιπῶν προνομίων μείωσιν οὐ τὴν τυχοῦσαν, ἵνα μὴ εἴπω ἀφαίρεσιν τούτοις ἐπαπειλοῦσιν, ἣν μὴ τῆς θείας ἀντιλαμβανομένης βοηθείας.

Εἰ δέ τις τοῖς αἰῶσι τούτοις ζήλῳ θείῳ κινούμενος, περὶ τῶν τοιούτων προβαλεῖν τὶ ἐθελήσειεν, εἰ μὲν τῶν ξένων καὶ φιλαληθῶν εἴεν, μάταιος καὶ ἄφρων, εἰ δὲ τῶν οἰκείων, καὶ φιλοπατρίδων, κενόδοξος, ἀλαζὼν, ἐπηρμένος, καὶ ὅσ' ἄλλα ἐξ ἁμάξης τὸ δὴ λεγόμενον, ἀκούσεται ὑπὸ τῶν ἀκροωμένων, ὧν οὐδὲν ἄλλο εἰς ἀπάντησιν προχείρως ἐχόντων εἰμὴ τὸ, Ἀριστενήτου πραγματικὴν διήγησιν λέγοντος. ἐπεὶ ἡ Κύπρος τῆς βαρβαρικῆς ἠλευθερώθη χειρὸς, καὶ τ. ἴσως δὲ καὶ ἕτερον τοῖς ἐξετάζουσιν οἱ ἀκροαταὶ ἐνστήσονται, τὴν τοσούτων ἐνιαυτὸν δηλονότι παρίππευσιν, δι' ἣν καὶ τὸ ἀκόλουθον ἐν δίκῃ ἐποίσουσι, κλαίων προμηθεύει μετὰ τὰ πράγματα, οὐ γὰρ χρείαν ἔχουσι φιλοχρινεῖν, καὶ ἀναμοχλεύειν ἀπαθῶς τοὺς Ἱεροὺς Κανόνας, καὶ δι' ἃς αἰτίας τῇ τῶν Κυπρίων Ἐκκλησίᾳ, καὶ ἡ καθ' Ἑλλήσποντον Ἐπαρχία ἐτεδόθη ὑπὸ τῶν θείων Πατέρων, καὶ τοῦ εὐσεβοῦς Βασιλέως.

Αὕτη γὰρ ἡ Νῆσος οὐ μόνον ἕως τῆς ἕκτης Οἰκουμενικῆς ἁγίας Συνόδου διάσημος ἦν τοῖς θύραθεν καὶ περίφημος, διὰ τὰ αὐτῆς αὐχήματα, τὸ γονιμώτατον δηλαδὴ τῶν ὑπὸ γῆν, καὶ κατ' ἐπιφάνειαν αὐτῆς ποικίλων καὶ πολυειδῶν μετάλλων, καὶ τὸ πάνφορον πάντων, καὶ κάλλιστον, ὅσα εἰς ἐνδυμασίαν τε καὶ τροφὴν τοῖς ἀνθρώποις χρησιμεύει, ἐξ ὧν πάντων δαψιλέστατα τοῖς λοιποῖς μετεδίδου ἔθνεσι, τῶν ἀλλοτρίων ἧττον δεομένη, Ἀνθ' ὧν οἱ ἀρχαῖοι τῶν συγγραφέων

τε, καὶ Γεωγράφων ἀπαριθμῆσαί τε καὶ συμπεριλαβεῖν ταῦτα ἀδυνάτως ἔχοντες, ὡς οἱ αὐτοὶ μαρτυροῦσιν, ἑνὶ περιληπτικῷ ὀνόματι, ταύτην μὲν Μακαρίαν ὠνόμασαν, τοὺς δὲ Κυπρίους Νησιωτῶν ἁπάντων ὀλβιωτάτους εἶπον, ἀλλὰ καὶ τοῖς ἔσω διετέλει ἐξάκουστος. διά τε τοὺς οὓς ἐξήνεγκεν ἁγίους τῆς Ἐκκλησίας, οὓς παμπληθεῖς ὄντας, καὶ οὐκ εὐαρίθμους, ὁ μαθεῖν βουλόμενος, τὸν Συνεξαριστὴν ἀπ' ἀρχῆς μετελθέτω, μέχρι τέλους, κἂν τούτῳ εὑρήσει τοὺς πλείονας, καὶ διὰ τὴν τῶν λοιπῶν τῶν ἐν αὐτῇ εὐσέβειαν, καὶ ἀνόθευτον περὶ τὰ θεῖα πίστιν. Μετὰ γὰρ τὴν τῶν θείων Ἀποστόλων ἐν ταύτῃ τῆς ἀμωμήτου πίστεως κήρυξιν, καὶ τὴν πάντων σχεδὸν τῶν ἐν αὐτῇ τοσούτων Ἑλλήνων τε καὶ εἰδωλολατρῶν ἐπιστροφὴν, κατὰ γὰρ τὸν θεῖον Ἀπόστολον, ὅπου ἡ ἁμαρτία ἐπλεόνασεν, ἔνθα καὶ ἡ χάρις ὑπερεπερίσσευσεν, ἐπανακαμπτούσης τῆς ἁγίας Ἑλένης ἀπὸ τῆς ἁγίας Πόλεως Ἱερουσαλὴμ μετὰ τὴν εὕρεσιν τοῦ τιμίου ξύλου, καὶ εἰς τὴν Νῆσον ἐλθούσης, καὶ ταύτην ἀνθρώπων ὁρώσης σπανίζουσαν διὰ τὴν ἐπηκολουθήσασαν ἐπὶ δεκαεπτὰ ἔτη ἀνομβρίαν, πολλοὶ ἐκ διαφέρων τόπων τε καὶ ἐθνῶν διὰ τοῦ ἑαυτῆς βασιλικοῦ προστάγματος ἐν ταύτῃ μετοικίσθησαν, (ἐκ ταύτης δὲ τῆς αἰτίας διάφοροι οἱ Κύπριοι, καὶ ποικίλοι τῇ τε γλώττῃ, καὶ τοῖς ἤθεσιν) ἀκαδημίαι τε καὶ φροντιστήρια ποικίλων συνεκροτήθη μαθήσεων, καὶ οὐ ταῦτα μόνον δι' αὐτῆς γεγόνασιν, ἀλλὰ καὶ δύο θεῖοι Ναοὶ εἰς δόξαν θεοῦ ὑπ' αὐτῆς ἀνηγέρθησαν, οἵ τινες καὶ μέχρι τοῦ νῦν σώζονται τῷ τε μεγέθει, καὶ τῷ κάλλει θαυμάσιοι, ὁ μὲν ἐπὶ γεφύρας ἐν μιᾷ τῶν ἀρχῶν τοῦ Ποταμοῦ βασιλοποτάμου λεγομένου, τῷ ὀνόματι ταύτης, ἁγία Ἑλένη, ἐναμβρυνόμενος, ὅς τις ἐν ἔτει σωτηρίῳ αψλγ'. ἐπὶ τῶν ἡμερῶν Ἰωαννικίου Μητροπολίτου Κιτίων ἐπεσκευάσθη. ὁ δὲ ἐπὶ ὄρους ὑψηλοῦ κατέναντι κειμένου τῆς λάρνακος, ἐν ᾧ καὶ μέρος τιμίου θεμένη ξύλου τοῦ σταυρικοῦ, τῷ ὀνόματι τούτου μετεκάλεσε. καὶ περιφράξασα τοῦτον τείχεσιν ὑψηλοῖς τε καὶ δυνατοῖς, μετὰ πάντων τῶν ἐν τούτοις χρειωδῶν οἰκημάτων, ἔθετο ἐν αὐτῷ Ἱερουργοὺς λειτουργοὺς, τὸν μοναδικὸν μετερχομένους βίον, καὶ τῇ τοῦ τιμίου σταυροῦ δυνάμει, μένει καὶ σώζεται ἕως τοῦ νῦν τῇ ἀρ-

χαίᾳ ἐκείνῃ διατάξει ἱερὸν Μονήδριον, τῷ τιμίῳ τοῦ σταυροῦ ἐνεμβρυνόμενον ὀνόματι, εἰς δόξαν τοῦ ἐν αὐτῷ ὑψωθέντος Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ δοθεὶς λίβελλος ὑπὸ τῶν Ἀρχιερέων τῆς Κύπρου εἰς τὴν οἰκουμενικὴν τρίτην Σύνοδον, ἐπὶ Θεοδοσίου Βασιλέως τοῦ Μικροῦ ἔτει Χριστοῦ 434. Ἐξαρχοῦντος τῆς Συνόδου Κυρίλλου Ἀλεξανδρείας καὶ τὸν τόπον ἐπέχοντος τοῦ Πάπα Ῥώμης Κελεστίνου. Ἐκ παλαιοτάτου βιβλίου ἐρανισθείς. ἐξ οὗ λιβέλλου ἐκφωνήθη ὁ Η΄. Κανὼν τῆς αὐτῆς Συνόδου εἰς ἀσφάλειαν τοῦ Αὐτονομίου τῆς Ἱερᾶς Ἐκκλησίας τῶν Κυπρίων. ὡς ἐν τῇ ἀρχῇ τῆς τοῦ Κυροῦ Φιλοθέου ἐκθέσεως γέγραπται.

Ῥηγῖνος Ἐπίσκοπος τῆς ἁγίας Ἐκκλησίας τῆς κατὰ Κωνσταντίαν τῆς Κύπρου εἶπεν.

Ἐπειδὴ διαταράττουσι τινὲς τὰς παρ' ἡμῶν ἁγιωτάτας Ἐκκλησίας αἰτῶ τὸν Λίβελλον, ὃν μετὰ χεῖρας ἔχω, ὑποδειχθέντα ἀναγινώσκεσθαι.

Ἡ ἁγία Σύνοδος εἶπεν ὁ προκομισθεὶς Λίβελλος Ἀναγνωσθήτω.

Τῇ ἁγιωτάτῃ Μεγάλῃ Συνόδῳ, τῇ χάριτι Θεοῦ, καὶ νεύματι τῶν Θεοφιλεστάτων ἡμῶν Βασιλέων, εἰς τὴν Ἐφεσίων θεοφύλακτον συναθροισθεῖσαν Μητρόπολιν, ἀξίωσις παρὰ Ῥηγίνου, καὶ Ζήνωνος, καὶ Εὐαγρίου Ἐπισκόπων τῆς Κυπρέων Ἐκκλησίας.

Πάλαι μὲν καὶ ὁ ἅγιος ἡμῶν Πατὴρ καὶ Ἐπίσκοπος γεγονὼς Τρωΐλος, μυρία πέπονθεν ὑπὸ τοῦ Ἀντιοχέων Κλήρου, καὶ τοῦ Θεοσεβεστάτου Θεοδότου, βίαν οὐ τὴν τυχοῦσαν ὑπομείνας μέχρι καὶ πληγῶν, ὑφ' ὧν οὔτε ἦν προσῆκον μάστιγας ὑπομένειν ἀθέσμως, καὶ παραλόγως, καὶ ἀκανονίστως, οἱ δι' ἑτέραν μὲν ὑπόθεσιν ἀφικόμενοι, ἐκείνης δὲ αἴσιον λαβούσης, τέλος ἀποχρησάμενοι τῇ ἀφίξει βιάζεσθαι, ἤθελον, καὶ ὑποτάττεσθαι αὐτοῖς, τοὺς ἐν τῇ Νήσῳ ἁγίους Ἐπισκόπους παρὰ τοὺς Κανόνας τοὺς Ἀποστολικοὺς, καὶ τοὺς ὅρους τῆς κατὰ Νικαίαν ἁγιωτάτης Συνόδου. καὶ νῦν δὲ γνόντες, ὡς ὁ μακάριος τέλει τοῦ βίου ἐχρήσατο, παρεσκεύασαν τὸν μεγαλοπρεπέστατον στρατηλάτην Διονύσιον, ἐπιστεῖλαι τῷ τε Ἄρχοντι τῆς Ἐπαρχίας προστάγματα, καὶ τῷ ἁγιωτάτῳ τῆς Κωνσταντιέων Ἐκκλησίας Κλήρῳ γράμματα δημόσια, ἅτινα καὶ ἀνὰ χεῖρας ἔχομεν

καὶ ἕτοιμοι ἐσμὲν ἐπιδεικνῦναι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ, τούτου χάριν δεόμεθα, καὶ καθικετεύομεν, μηδὲ μίαν ἡμῖν καινοτομίαν συγχωρεῖν εἰσπράττεσθαι, τοὺς οὐδὲν ἀτόλμητον ἡγουμένους ἀνθρώπους ἄνωθεν καὶ ἐξ ἀρχῆς βουληθέντας παρὰ Κανόνας Ἐκκλησιαστικοὺς, καὶ θεσμοὺς, τοὺς ἐκτεθέντας παρὰ τῶν Ἁγιωτάτων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων τῇ μεγάλῃ ἁγίᾳ Συνόδῳ, τοῖς μὴ προσήκουσιν, ἐπιβαίνειν ἐθέλοντας ὅροις. ὡς γὰρ ἔφημεν, οὐκ ἂν παρωρμήθη σήμερον ὁ μεγαλοπρεπέστατος Στρατηλάτης Διονύσιος, Ἀνὴρ τὴν τῶν τακτικῶν φροντίδα μόνην ἐμπεπιστευμένος, καὶ ἃ μὴ προσῆκεν αὐτῷ προσελάβετο, ὡς πρὸς τὰ ἐκκλησιαστικὰ πράγματα, μηδένα λόγον ἔχων, εἰ μήγε ὑπὸ τῶν ὁσιωτάτων ἐκεῖσε συνελθόντων Ἐπισκόπων καὶ τοῦ Κλήρου αὐτῶν, ἀπατηθεὶς νενόμικεν εἶναι κανονικὸν ὡς καὶ τὰ προστάγματα αὐτοῦ δηλεῖ, τὸ δίχα τῆς αὐτῶν γνώμης μὴ καθίστασθαι ἐν Κωνσταντίᾳ τῇ Μητροπόλει τῆς Κύπρου Ἐπίσκοπον. Ἀξιοῦμεν δὲ αὐτὰ τὰ γράμματα τοῦ μεγαλοπρεπεστάτου στρατηγοῦ ἀναγινώσκεσθαι, καὶ τὰ ἐπιτάγματα καὶ σύμπαντα ὁμοῦ τὰ ἐπὶ ταύτῃ τῇ τραγωδίᾳ τετολμημένα, καὶ πεπραγμένα, ἵνα ἐξ αὐτῶν γνῷ ἡ ἁγία ὑμῶν καὶ μεγάλη Σύνοδος, τὴν ἀνύποιστον βίαν τὴν γεγεννημένην, καὶ γὰρ οὐχ᾽ ὁ τυχὼν θόρυβος κατείληφε πᾶσαν τὴν Μητρόπολιν τὸ, γνωρίζομεν τῇ ὑμετέρᾳ ἁγίᾳ Συνόδῳ, ὅτι μετὰ τῶν τοῦ ἐνδοξοτάτου στρατηγοῦ γραμμμάτων, καὶ Διάκονος ἀπεστάλη τῆς Ἀντιοχέων ἁγίας Ἐκκλησίας. Διὸ καθικετεύομεν, καὶ προσπίπτομεν τοῖς ὑμετέροις ἁγίοις ἴχνεσι, κανονικῇ ψήφῳ καὶ νῦν, ὥσπερ ἀρχῆθεν ἀπὸ τῶν χρόνων τῶν Ἀποστόλων, καὶ Κανόνων τῆς Μεγάλης καὶ ἁγιωτάτης Συνόδου τῆς κατὰ Νίκαιαν ἄτρωτος, καὶ ἀνεπιβούλευτος, καὶ ἐλευθέρα πάσης καταδυναστείας διατετέλεκεν ἡ ἡμετέρα Σύνοδος ἡ κατὰ Κύπρον, οὕτω νῦν καὶ τῇ ὑμετέρᾳ ἀδεκάστῳ καὶ δικαιωτάτῃ ψήφῳ τῶν ἡμετέρων θεσμῶν ὑπάρξαι ἡμῖν δίκαιον.

Ῥηγῖνος Ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου ὑπέγραψα.

Εὐάγριος ἐλάχιστος Ἐπίσκοπος τῆς κατὰ Σόλων τῆς Κύπρου ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας ὑπέγραψα χειρὶ ἐμῇ.

Ζήνων Ἐπίσκοπος τῆς κατὰ Κουρίαν ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας τῆς Κύπρου ὑπέγραψα χειρὶ ἐμῇ.

Μητροπόλεις καὶ Ἐπισκοπαὶ τῆς Κύπρου αἵτινες εὑρίσκονται σημειωμέναι εἰς Παλαιὸν Νομοκανόνα τῶν Ἀρχιερέων μέχρι νῦν.

Μητροπόλεις.

Ὁ Κωνσταντίας. Ὁ Πάφου. Ὁ Κιτιαίων. Ὁ Ἀμαθοῦντος. Ὁ Κυρηνίας. Ὁ Κουρίων.

Ἐπισκοπαί.

Ὁ Τριμυθοῦντος. Ὁ Κυθρῶν. Ὁ Φωτολαμποῦς, ἢ Λευκοσίας. Ὁ Καρπασέων. Ὁ Νεαπόλεως Νεμεσοῦ. Ὁ Λαμπούσης. Ὁ Σάρων. Ὁ Δοράς. Ὁ Σολέας. Ὁ Σάλδων. Ὁ Ἀνακωμίας. Ὁ Γαβῶν. Ὁ Βανόθης. Ὁ Βατανέων. Ὁ Θερακομίας. Ὁ Ἀρσενόης. Ὁ Μαχμερῶν. Ὁ Πυργοκρατῶν. Ὁ Πετνής. Ὁ Ἀριάχων. Ὁ Ταμάσων ὁ Χοιροκοίτων. Ὁ Στάνων. Ὁ Κορεάθας. Ὁ Βιλβανοῦς.

Αὐτῶν τῶν Μητροπόλεων καὶ Ἐπισκοπῶν οὐδεμίαν ἀπόδειξιν ἔχομεν, εἰ μὴ πῶς ἐπὶ τῶν Δουκῶν τῶν ἀπὸ Κωνσταντινουπόλεως μετὰ τριακοσίους καὶ ἐπέκεινα χρόνους ἀπὸ Χριστοῦ, ἡ Νῆσος ἦτον διῃρημένη εἰς δεκατέσσαρας Ἐπαρχίας, εἰς Λευκοσίαν, εἰς Ταμασέαν, εἰς Κίτιον, εἰς Ἀμαθοῦντα, εἰς Κουρίαν, εἰς Ἀρσενόην, εἰς Πάφον, εἰς Σολέαν, εἰς Λάπιθον, εἰς Κυρηνίαν, εἰς Κυθραίαν, εἰς Τριμυθοῦντα, εἰς Καρπασίαν, καὶ εἰς Νεάπολιν Νεμεσοῦ. Τῶν ὁποίων ἔχομεν ἀπόδειξιν τοὺς ἐν αὐταῖς διαλάμψαντας ἁγίους Ποιμένας ὡς ἐν Λευκωσίᾳ τὸν Τριφύλλιον, ἐν Ταμασίᾳ τὸν θεῖον Ἡρακλείδιον καὶ ἄλλους, ἐν Κιτίῳ τὸν Τετραήμερον Λάζαρον, ἐν Ἀμαθοῦντι τὸν Θαυματουργὸν Τύχωνα, ἐν Κουρίᾳ ἢ Ἐπισκοπῇ τὸν Ἱερὸν Ζήνωνα, ἐν Ἀρσενόῃ Ἀρκάδιον καὶ Νίκωνα, ἐν Πάφῳ Τυχικὸν μαθητὴν Παύλου, εἰς Σολέαν Φιλάγριον Ἀπόστολον, Πέτρου μαθητὴν, εἰς Λάπιθον Εὐλάβιον, εἰς Κυρηνίαν Θεόδοτον, εἰς Κυθραίαν ἢ Χύτρην Δημητριανὸν καὶ ἄλλους, εἰς Τριμυθοῦντα τὸν Μέγαν Σπυρίδωνα, οὗ τὸ ἱερὸν λείψανον χαίρεται ἡ Κέρκυρα μέχρι νῦν, ὡς ὄλβον ἄσυλον καὶ προστάτην αὐτῆς κηρύττει. εἰς Καρπασίαν Φίλωνα καὶ Συνέσιον, καὶ εἰς Νεάπολιν, Τυχικὸν καὶ Ζήνωνα. Παρ' οὐδενὸς ὅμως εὕρομεν ὅτι

ἦτον διῃρημένη ἡ Νῆσος ποτὲ εἰς τριάκοντα μίαν Ἐπαρχίαν μὲ ἄλλους τόσους Ἀρχιερεῖς. ἀμφιβάλλεται λοιπὸν καὶ σφοδρῶς. οὐδὲν ἄλλο συμπέρασμα συνάγομεν ἐκ τούτου, εἰμὴ πολὺ πρότερον τῆς πρώτης Συνόδου (ἥτις ἐδιώρισε τὰς Μητροπόλεις καὶ Ἐπισκοπὰς τοῦ Χριστιανικοῦ πληρώματος, καὶ εἰς τάξιν ὑπέβαλε τὰς Ἐπαρχίας) καὶ σχεδὸν ἀπ' αὐτῆς τῆς Ἀρχῆς τοῦ Κηρύγματος τοῦ Εὐαγγελίου, ἀπὸ ἕνα θεῖον ζῆλον κινούμενοι πολλοί, καὶ διὰ παρακίνησιν τῶν εἰδωλολατρῶν λαῶν ἐν τῇ Νήσῳ εἰς τὴν Ἱερὰν Πίστιν, ἐγίνοντο Ἀρχιερεῖς οἱ πλέον εὐσεβεῖς καὶ ἀξιώτεροι. τιμώμενοι μὲν ὡς Ἀρχιερεῖς, ἀλλὰ μηδὲν διαφέροντες τῶν νῦν προεστώτων τινῶν Ἐκκλησιαστικῶν Ἱερέων, ὡς Οἶμαι. Τότε οἱ Ἀρχιερεῖς διότι ἦσαν καὶ οἱ αὐτοὶ Ἐφημέριοι διδάσκοντες τὸν λαὸν καὶ ἐπιτελοῦντες πάντα τὰ Ἐκκλησιαστικὰ ὑπουργήματα. ὑποθετέον προσέτι καὶ ἡ Νῆσος τότε οὖσα πολυάνθρωπος, εἶχε χρείαν καὶ πολλῶν Ποιμένων Ἱερῶν πρὸς καταρτισμὸν τῶν λογικῶν προβάτων. Ἀλλὰ τέλος μένει ἡ ὑπόθεσις τούτων τῶν πολλῶν Ἀρχιερέων εἰς μίαν Νῆσον ὁποῦ ἐκυρίευεν ἔτι ἡ ἀπιστία, καὶ τῶν Ἑλλήνων ἡ Αὐθάδεια, Προβληματική, καὶ εἰ οὐδ' ὅλως, λίαν ὅμως τῆς ἀληθείας ἀφίσταται.

Μοναστήρια ὁποῦ σώζονται τὴν σήμερον Καλογέρων Ὀρθοδόξων εἰς τὴν Νῆσον, ἕως εἴκοσι, ἀπὸ δέκα ἕως δεκαπέντε Ἱερομονάχους καὶ Μοναχούς, δύω ἀπὸ τεσσαράκοντα, τὸ τοῦ Κύκκου ἀπὸ ἑκατόν. τὰ δὲ λοιπὰ ἀπὸ τρεῖς καὶ πέντε ἕως τῶν δέκα μόλις. καί τινα ἐκ τούτων σταυροπήγια ὑποτελοῦντα, καίτοι εἰς τὰς ἄλλας Ἐπαρχίας, ὑπὸ τὸν Ἀρχιεπίσκοπον.

Τὰ εἰς τὴν Ἐπαρχίαν τῆς Ἀρχιεπισκοπῆς.

Τῆς ἁγίας Νάπας.
Τοῦ Μαυροβουνίου.
Τοῦ Τοχνιοῦ.
Τοῦ ἁγίου Σπυρίδωνος.
Τοῦ ἁγίου Ἀναστασίου.
Τῆς Αὐγασίδος.
Τῆς Λιβαδιοτίσσης.
Τῆς Νέτας.
Τοῦ ἁγίου Νικολάου Δαυλοῦ.
Τοῦ ἁγίου Κενδέα.
Τῆς Μάλουρας.
Τῆς ἁγίας Θέκλης.

Τῆς Κουράθθας.
Τῶν Χορδακιῶν.
Τοῦ Ἀποστόλου Βαρνάβα.
Τῆς Καντάρας.
Τῆς Κανακαρίας.
Τῆς ἁγίας Φωτεινῆς.
Τῆς Μακεδονιτήσσης.
Τοῦ Ἀρχαγγέλου Ἀναλιόντα.
Τοῦ Μαχαιρᾶ.
Τοῦ Προφήτου Ἡλιοῦ.
Τοῦ ἁγίου Ἡρακλειδίου.
Τοῦ ἁγίου Μνάσωνος.
Τοῦ ἁγίου Παντελεήμονος Ἀχερᾶς
Τῆς Παλουργιοτίσσης.

Σταυροπήγια.

Τοῦ Κύκκου τὸ μεγαλήτερον, καὶ πλουσιώτερον.
Τῆς ἁγίας Ἐγκλείστρας εἰς Πάφον.
Τῆς ἁγίας Μονῆς Μετόχιον Κύκκου εἰς Πάφον.
Τὸ Πιάνι, Μετόχιον Κύκκου εἰς Πάφον.
Σίντης μετόχιον Κύκκου εἰς Πάφον.
Τοῦ ἁγίου Νικολάου Στέγης εἰς Σολέαν.
Τῶν Καθάρων εἰς Κυρηνίαν.

Τὰ ὑπὸ τὴν Ἐπαρχίαν τῆς Πάφου.

Τροοδίτισσα.
Σταυρὸς Ὁμόδου.
Ἅγιοι Ἀνάργυροι Φοινιοῦ.
Πέντε Λιθάρια.
Σταυρὸς Ἀνώγυρας.
Ἅγιος Σάββας.
Σαλαμιοῦ.
Ἀγινικολοῦδιν.
Ἅγιος Γεώργιος Κουμάνου.
Ἅγιος Ὀνησιφόρος.
Χρυσορρογιάτισσα.
Σταυρὸς μίθθας.
Ζαλάκια.
Χρυσολάκουρνα.
Ἅγιοι Ἀνάργυροι τῆς Γιόλου.
Ἅγιος Νικόλαος Νικοξυλίτης.

Τὰ ὑπὸ τὴν Ἐπαρχίαν τοῦ Κιτιαίων.

Μέσα Ποταμός.
Ἅγιος Νικόλαος Ἐργαστηρίου.
Ἁγία Μαῦρα.
Ἀρχάγγελος Μοναγρίου.
Ἀμασγοῦ.
Σφαλαγγιότισσα.
Ἅγιος Νικόλαος Ἀκρωτηρίου.
Ἀμηροῦ.
Σταυροβοῦνιν.
Ἅγιος Μηνᾶς.
Σταυρὸς Κουκᾶς.
Μέγας Ἀγρός.
Ἰαματική.

Τὰ ὑπὸ τὴν Ἐπαρχίαν Κυρηνείας.

Ἀχειροποίητος.
Ἅγιος Παντελεήμων Μύρτου.
Ἀσίνου.
Ἅγιος Μάμας Μόρφου.
Ποδίθου.
Ἄρακας.
Ἅγιος Ἰωάννης Λαμπαδιστής.
Τρικουκκιά.
Ἁγία Ἀργιά.
Μαλανδρίνα.
Ἀντιφωνητής

Μοναστήρια Ἁγιοταφητῶν καὶ Συναϊτῶν.

Τοῦ Χρυσοστόμου ἁγιοταφίτικον.
Τῆς Βασίλιας Συναΐτικον.
Τοῦ Ριγιάτη Συναΐτικον.
Τοῦ Πυργιότη Ἁγιοταφίτικον.
Τῆς Ἐλεούσης Συναΐτικον.

Αὐτῶν οἱ Προεστῶτες στέλλονται ἀπὸ τὴν Ἱερουσαλὴμ καὶ ἀπὸ τοῦ Σινᾶ Μοναστήριον.

Αὐτὰ τὰ Μοναστήρια τὰ ὑπὸ τὴν διοίκησιν τῶν Ἀρχιερέων τῆς Νήσου ἔχουσι τὰς προσόδους αὐτῶν ἀπὸ ὑποστατικὰ οἰκεῖα, δηλαδὴ ἀπὸ περιβόλια μετάξης, κήπους, χωράφια, ἀμπέλια, ἐλαιόδενδρα, κάρπιμα δένδρα, πρόβατα, αἶγας, βόας, ἵππους, ἡμιόνους, ὄνους κτ. τὰ ὁποῖα οἱ Μονάζοντες καλλιεργοῦσι κυβερνῶνται ἐξ αὐτῶν, πληρώνουσι τὰ βασιλικὰ δοσίματά των, τὰ Κανονικὰ τῶν Ἀρχιερέων αὐτῶν διωρισμένα τόσα γρόσια τὸ καθ' ἕν. Προβλέπουσι τὰ πρὸς χρείαν τῶν Μοναστηρίων. Δέχονται μὲ τὴν δυνατὴν φιλοξενίαν, καὶ προαίρεσιν τὸν καθ' ἕνα, καὶ κάθε γένους χωρὶς πληρωμῆς τινὸς καὶ μίαν καὶ δύω καὶ τρεῖς ἡμέρας, ζωοτροφοῦντες αὐτὸν καὶ τὸ ζῶόν του. Τούρκους μάλιστα ὁποῦ δὲν λείπουσιν ἀκαταπαύστως σχεδὸν ἀπὸ αὐτά, καὶ μάλιστα ἀπὸ τὰ μεγάλα, μὴν ἔχοντες ἄλλο, εἰμὴ ἂν ἐκ προαιρέσεως οἱ ἐνδημοῦντες χριστιανοὶ ἤθελαν ἀφήσῃ τὶ διὰ λειτουργίας καὶ μνημόσυνα. καὶ εἰς τὸν καιρὸν τῆς συνάξεως τῶν γεννημάτων, ὁποῦ στέλλονται Ἱερομόναχοι καὶ Μοναχοὶ ἀπὸ αὐτὰ εἰς τοὺς Χριστιανοὺς χωριάτας καὶ συνάζουσιν ἀπὸ τὰ γεννήματα ὅ,τι ἐκ προαιρέσεως οἱ Χριστιανοὶ ἤθελαν τοὺς δώσῃ χάριν ἐλέους. ἀπὸ τοῦ Κύκκου ὡς τὸ πρώτιστον πάντων, καὶ εὐτυχέστερον, καὶ ἀπὸ τοῦ

Μαχαιρᾶ, καὶ χρυσορρογιατίσσης τὰ κατώτερα, δὲν λείπουσιν οἱ ξένοι σχεδὸν οὐδέποτε. οἱ Τοῦρκοι μάλιστα, τὰ ὁποῖα ὑποφέρουσι καὶ μεγάλα ἔξοδα.

Εἰς τὴν Λευκοσίαν εὑρίσκονται νῦν Ἐκκλησίαι Ὀρθοδόξων Ἐννέα. Τοῦ ἁγίου Ἰωάννου Πίπη, ὅπερ ἦτον Μοναστήριον Ρωμαίων Καλογέρων, καὶ ἐπὶ τῶν Λατίνων, νῦν δὲ ἀπὸ τοὺς 1730. ἐπὶ Σιλβέστρου Ἀρχιεπισκόπου κατέστη Καθεδρικὴ Ἐκκλησία τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου τῆς Κύπρου, καὶ Ἀρχιεπισκοπὴ ἡ κατοικία. Τῆς Φανερωμένης Θεοτόκου Ἀρχαία καὶ Παλαιοτάτη ἀπὸ τὴν ὀνομασίαν. Τοῦ Τριπιώτου ἐπ' ὀνόματι τοῦ Ἀρχαγγέλου. (τοῦ Σερεηπλάτρων ἢ τὸ, τοῦ Ἀδρίου, ἕνα ἀπὸ τὰ δύω φαίνεται νὰ εἶναι ἡ νῦν τοῦ τριπιώτου Ἐκκλησία. Τότε ὂν Μοναστήριον ὡς Στέφ. Λουζ. Ἱστορεῖ.) Τοῦ ἁγίου Σάββα, ἣν ποτὲ ὥριζαν οἱ Ἁγιοταφῖται, νῦν δὲ ἐπὶ Χρυσάνθου ἀνεκαινίσθη ἐκ βάθρων ἔτει 1781. τῇ βοηθείᾳ τῶν Χριστιανῶν. Τοῦ ἁγίου Ἀντωνίου ἐπὶ Φιλοθέου ἐκ βάθρων. Τῆς Ἀληνιοτίσσης τῆς Θεοτόκου. Τοῦ ἁγίου Κασσιανοῦ. Τοῦ Ἀποστόλου Λουκᾶ καὶ αὕτη ἐκ βάθρων κτισθεῖσα ἔτει 1758. ἐπὶ Φιλοθέου. καὶ ἡ τοῦ ἁγίου Γεωργίου ὡς Παρακλήσιον, εἰς ἃς ἐκκλησιάζονται οἱ τῆς Λευκοσίας Χριστιανοὶ, ἔχουσα ἑκάστη ἀπὸ τρεῖς καὶ τέσσαρεις Ἱερεῖς ἀκαταπαύστως λειτουργοῦντες καὶ ψάλλοντες αὐτάς. Εὑρίσκονται εἰς τὰς λοιπὰς Πολιτείας τῆς Νήσου, καὶ εἰς τὰ χωρία ὡς πεντακόσιαι Ἐκκλησίαι ὅπου ψάλλονται ἀπὸ Ἱερέων, χωρὶς ἄλλων Παρακλησίων Ἀναριθμήτων σχεδόν. Τὸ Ἱερατεῖον τῆς Νήσου πάσης Κοσμικῶν Ἱερέων καὶ Μοναστηριακῶν, ὀλίγον ἀμφιβάλλεται νὰ μὴ φθάνῃ ἕως τοῦ ἀριθμοῦ τῶν χιλίων.

Τῶν Φρατόρων καὶ Ἀρμενίων Ἐκκλησίαι καὶ Μοναστήρια.

Τοῦ Σταυροῦ, τῶν Φραντζεσκάνων εἰς Λευκοσίαν.

Τοῦ ἁγίου Ἰακώβου τοῦ Πέρσου, τῶν Καπουτζίνων, εἰς Λευκοσίαν.

Ἐκκλησία Ἀρμενίων εἰς Λευκωσίαν, ἥτις κατ' ἔτος εἰς σημεῖον ὑποταγῆς προσφέρει εἰς τὸν Μακαριώτατον Ἀρχιεπίσκοπον, δῶρόν τι, ὡς Κανονικόν.

Μοναστήριον αὐτῶν τοῦ Μακάρι εἰς τὰ ὄρη Κυρηνίας.

Τῆς Τέρρα Σάντας τῶν Φραντζεσκάνων εἰς Λάρνακα.

Τῶν Καπουτζίνων ἐκεῖ ἕτερον..

Αὐτὰ τῶν Φρατόρων ὑπόκεινται εἰς τὴν ἐπίσκεψιν τοῦ κατὰ καιρὸν Κονσόλου τῆς Φράντζας.

Ὅσαι τῶν Μαρωνιτῶν Ἐκκλησίαι εὑρίσκονται εἰς χωρία, ὑπόκεινται εἰς τοὺς κατὰ τὴν ἐπαρχίαν Ἀρχιερεῖς τῶν Ρωμαίων, κατὰ τὰ ὑπὸ τοῦ Σουλτάνου εἰς αὐτοὺς Μπεράτια. ὑπ' αὐτῶν λαμβάνουσι τὰς ἁρμασίας καὶ χωρισμοὺς τῶν ἀνδρογύνων τοῦ γένους των, καὶ αὐτοὺς ἐγνωρίζουσιν ἀρχιερεῖς των.

Ἡ Ἱστορία συγχωρεῖ νὰ ἀναφέρωμεν, καὶ διὰ τὸν Ττεκκὲν τῶν Ὀθωμανῶν, οὐ μακρὰν τῆς Ἁλικῆς τοῦ Κιτίου. διαφημίζεται ὑπ' αὐτῶν πῶς ἡ ἀδελφὴ ἢ συγγενὴς ἦτον τοῦ Μωάμεθ. Τάφος τῆς Σουλτάνας κοινῶς λεγόμενος. Ἴσως εἶναι ἡ θυγάτηρ τοῦ Ἀβουβάχαρος ὁποῦ ἀναφέρει ὁ Πορφυρογέννητος θέματι. ιε'. σώζεται εἰς μεγάλην εὐλάβειαν ὑπὸ τῶν Τουρκῶν, ἄβατος Γυναιξί.

Ὁ Ττεκκεσέχης εἴτε ἐπιστάτης τούτου, στέλλεται ἀπὸ Κωνσταντινουπόλεως, σεβάζεται ὑπ' αὐτῶν, ὡς ἐφέντης, διὰ τὴν χάριν τούτου τοῦ Μαυσωλείου ἄκρως. ἔχει ἀρκετὰς Προσόδους καὶ εἰσοδήματα εἰς τὸν τόπον.

Αἱ Περισσότεραι Μοσκέαι εἴτε Τζαμία τῶν Ὀθωμανῶν εἰς Λευκοσίαν εἰς Ἀμμόχουστον καὶ εἰς ἄλλας πολιτείας τῆς Νήσου, ἦσαν Ἐκκλησίαι τῶν Λατίνων. εἰς λευκοσίαν ἡ Ἁγία Σοφία, πρὶν τῶν Ρωμαίων, εἶτα τῶν Λατίνων, νῦν τὸ Πρῶτον Τζαμὶ τῶν Τουρκῶν. Ἡ

Σάντα Αἰκατερίνα ἦτον μοναστήριον τῶν Τεμπλάρων, ἡ Ἐμεργὲ τοῦ Νοσοκομείου τῶν Ροδίων Καβαλλιέρων ἢ Μαλτέζων. Τὸ Πεζεστένιον ἦτον Ἐκκλησία, ἔνθα νῦν διημερεύουσιν οἱ τῶν λεπτῶν πραγματειῶν παργματευταί. Ἡ κοινὴ παράδοσις θέλει ὅτι ἦτον Ἐκκλησία Ρωμαίων, ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου αἱ λοιπαὶ Ἐκκλησίαι Ρωμαίων Ἀρμενίων κτ. ἀφέθησαν ἀπὸ τοὺς Ὀθωμανούς, οὐδὲ ἐμολύνθησαν, ὡς ὑποταχθέντων τὰς ὁποίας ὁμοῦ μετὰ μοναστήρια τὰς ἐξηγόρασαν ἀπὸ αὐτούς, οἱ αὐτοὶ Ραγιάδες Χριστιανοί.

Περὶ ἀξιοσημειώτων Καταστροφῶν τῆς Νήσου.

Παραιτούμενοι τὰς ὑπὸ τῶν Ἀσσυρίων, Ἀμάσιδος Αἰγύπτου, τῶν Ἀργείων, τῶν θεῶν, τῶν Ἐννέα βασιλέων, τῶν Μεγαρέων, τῶν Ἀθηναίων, τῶν Περσῶν, Πτολεμαίου, Μακεδόνων καὶ Σαρακηνῶν εἰκοσιτέσσερεις φοραῖς, διηγούμεθα ἐν περιλήψει τὰς κάτωθεν Καταστροφάς.

Ἡ πρώτη καταστροφὴ ἐσυνέβη ἀπὸ τοὺς Ρωμάνους πρὶν Χριστοῦ χρ. 57. ὁ Μάρκος Κάτων γυμνώσας τὴν Νῆσον ἀπὸ τοὺς θησαυρούς της, ἐπῆρεν εἰς Ρώμην κατὰ τὸν Πλούταρχον ὡς ἑπτὰ μιλλιούνια Τάλαντα, ἤτοι ὡς τὴν σήμερον 25020. Τζηκλίνια, ἢ ὡς ἄλλοι 3818.

Ἡ δευτέρα, οἱ ὑπὸ τὴν δυναστείαν τῶν Ρωμάνων ἑβραῖοι ἐπαναστατήσαντες ἐπὶ τοῦ Ἰμπεράτωρος Τραϊανοῦ τῷ 117., οἱ εἰς Κύπρον θεοκατάρατοι ἐθανάτωσαν 240. χιλ. λαὸν, ἐκαταχάλασαν τὴν θαυμαστὴν Σαλαμῖνα καὶ ἄλλας χώρας, δι' αὐτὴν τὴν αἰτίαν Νόμος ἐδιωρίσθη ἀπὸ τοὺς Ρωμάνους, ἑβραῖος νὰ μὴ πατίσῃ ποτὲ πόδα εἰς τὴν Νῆσον, καὶ ἂν καὶ ὑπὸ ζάλης ἐκπέσῃ τὶς εἰς αὐτὴν ἀφεύκτως νὰ θανατώνεται.

Ἡ Τρίτη, ἐπὶ τοῦ Μεγάλου Κωνσταντίνου, ἐπειδὴ ἡ Νῆσος ἔμεινε σχεδὸν ἀκατοίκητος διὰ τὸ νὰ μὴν ἔβρεξεν ἕως εἰς δεκαεπτὰ χρόνους.

Ἡ τετάρτη, εἰς τὸν καιρὸν τοῦ βασιλέως βαλδουίνου Ἱερουσαλὴμ ἔτει 1154. ὅταν ὁ Πρίγκιψ Ἀντιοχείας Ρεγινάλδος, ἔχθρα φερόμενος κατὰ τοῦ Αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ. Ἐλθὼν μὲ ἀρμάδα

χονδρὴν ἔξαφνα ἐλεηλάτισε τὴν Νῆσον, ἐχάλασε χώρας καὶ Καστέλλια, καὶ ἅρπαξε τόσους θησαυροὺς ὅσους ὁ Κάτων δὲν ἐπῆρεν εἰς Ρώμην, ὡς διηγεῖται Σαντ' Ἀντωνῖνος.

Ἡ Πέμπτη, ἀπὸ τὸν Ρῆγα Ρικάρδον τῆς Ἀγγλίας, ἐξ αἰτίας τοῦ ἀποστάτου Ἰσαακίου κομνηνοῦ ἐλεηλάτησε τὴν Νῆσον, ἐπῆρεν αἰχμάλωτον αὐτὸν, καὶ τόσον τὴν ἐρήμωσεν ὁποῦ μόλις τὴν ἐπώλησε τῶν Τεμπλάρων πρῶτον, καὶ τοῦ Γουΐδου Λουζινιανοῦ ἔπειτα, διὰ ἑκατὸν χιλιάδ. δουκάτα.

Ἡ ἕκτη, εἰς τὸν Καιρὸν τοῦ βασιλέως Πιερίνου Λουζινιανοῦ, ἀπὸ τοὺς Γενουβέζους τῷ 1374., οἱ ὁποῖοι μετὰ δόλου ἐκυρίευσαν τὴν ἀμμόχουστον, καὶ ἐλεηλάτησαν λευκοσίαν καὶ ἄλλους τόπους, ὥστε ὁποῦ ἔξη γαλέραις ἀπὸ τὰ κούρση ἐφόρτωσαν διὰ τὴν Γένουβαν.

Ἡ Ἑβδόμη, εἰς τὸν καιρὸν τοῦ βασιλέως Γιάννου τοῦ Παχῆ, ὅταν ὁ Σουλτάνος τῆς Αἰγύπτου τῷ 1425. ἔστειλεν ἀρμάδα καὶ ὑπέταξε τὴν Νῆσον, λαβὼν Αἰχμάλωτον τὸν βασιλέα καὶ ὅλους τοὺς Ἄρχοντας. ἐλεηλάτησε τὴν χώραν καὶ χωρία ἐπῆρε πολλοὺς σκλάβους. καὶ μόλις ὁ βασιλεὺς μετὰ τέσσερεις χρόνους νὰ ἐλευθερωθῇ μὲ ἑκατὸν χιλιάδ. δουκάτα, μὲ ὑπόσχεσιν κατ' ἔτος νὰ τοῦ πληρώνῃ ὀκτὼ χιλιάδ. δουκ. δόσιμον.

Ἡ ὀγδόη εἰς τὸν καιρὸν τῆς βασιλίσσης Καρλόττας, ὅταν ὁ Μπαστάρδος Γιάκουμος ἀδελφός της τῆς ἐπῆρε τὸ βασίλειον τῷ 1459., καὶ ἔφερε στράτευμα ἀπὸ τὸν Σουλτάνον τῆς Αἰγύπτου, καὶ τὴν ἀπεδίωξεν. ἐβάσταξαν οἱ πόλεμοι εἰς τὴν Νῆσον ὡς τρεῖς χρόνους, ἡ γῆ δὲν ἐσπάρθη, οἱ Σαρακηνοὶ ἐλεηλάτησαν τὴν Νῆσον καὶ οὕτως ἔφυγαν.

Ἡ τελευταία φθορὰ ἐσυνέβη, ὅταν ὁ Σουλτὰν Σελὴμ β'. τῆς Κωνσταντινουπόλεως μετὰ δυνάμεως καὶ πολέμου ἐπῆρε τὴν Νῆσον ἀπὸ τοὺς βενετζιάνους ἔτει 1571. ἡ δεινὴ Αἰχμαλωσία καὶ φθορὰ τῆς Νήσου ἐξ αὐτοῦ, φαίνεται εἰς τοὺς Πολέμους.

Κατάλογος τῶν Ἐξουσιασάντων τὴν Νῆσον Ἐθνῶν, καὶ τῶν χρόνων, καθ' οὓς ὑπὸ τῆς Δεσποτίας αὐτῶν διήρκεσε κατὰ τοὺς Νεω-

τέρους χρονολόγους, μετὰ τὸν Κατακλυσμὸν, ὃς ἐσυνέβη ἀπὸ τῆς Δημιουργίας. Ἔτει 1656

Ἐκ συμπεράσματος ἔμεινεν ἀκατοίκητος μετὰ τὸν Κατακλυσμὸν		180
Ὁ Χεττὶμ δυσέγγονος Νῶε καὶ οἱ μετ' αὐτὸν, ὡς		200
Νῖνος Βαβυλωνίων καὶ Ἀσσυρίων καὶ οἱ μετ' αὐτὸν ὡς		310
Κράσσος Ἀργείων καὶ οἱ μετ' αὐτὸν, ὡς		140
Πυγμαλίων ἢ οἱ Θεοὶ ὡς		315
Οἱ Ἐννέα Βασιλεῖς ἐλεύθεροι ὡς	596	
Φορολογούμενοι ὑπὸ Αἰγυπτίων ὡς	47	
Ὑπὸ Μεγαρέων	4	
Ὑπὸ Κύπρου καὶ Περσῶν	155	
Ὑπὸ Ἀθηναίων καὶ Εὐαγόρου	70	
Ὑπὸ Ἀλεξάνδρου καὶ Πτολεμαίου Λάγου	20	
Ὑπὸ Ἀντιγόνου Μακεδονίας	7	899
Πτολεμαῖοι τῆς Αἰγύπτου μόνοι		246
Ρωμάνοι Κόνσολοι ἅμα ὀκτὼ Ἀρσηνόης, καὶ Κλεοπάτρας πέντε.		175
Βασιλεῖς ὑποτελεῖς Ρωμάνων		189
Δοῦκοι ἐκ Κωνσταντινουπόλεως		868
Ἄρραβες καὶ Σαρακηνοὶ		15
Ρικάρδος Ἀγγλίας καὶ Τεμπλάροι		4
Βασιλεῖς Λουζινιανοὶ Ἐλεύθεροι.	238	
Ὑπόφοροι τῷ Σουλτάνῳ Αἰγύπτου	64	296
Σὺν αὐτοῖς Ἀριθμοῦνται τρεῖς τῆς Καρλόττας καὶ Ἀλοϊζίου Σαβόγιας, καὶ τῆς Αἰκατερίνης Κορνάρου 8. χρόνοι 16. ἕως τῆς Παραιτήσεως αὐτῆς.		
Βενετζιάνοι ὑπόφοροι τῷ τῆς Αἰγύπτου	27	
Τῷ Σουλτάνῳ Κωνσταντινουπόλεως	55	
		82
Σουλτὰν Σελὴμ β' ἀπὸ τοῦ 1571. μέχρι νῦν 1783.		217

Θεραπείαι διὰ τὸ Δάγκαμα τῆς Κουφῆς ἢ τῆς ἔχιδνας.

Ἐπειδὴ εἰς τὴν Νῆσον ἄλλο ζῶον ἢ θηρίον πλέον φαρμακερὸν καὶ θανατηφόρον εἰς ζῶα καὶ ἀνθρώπους, δὲν γίνεται, παρὰ ἡ λεγομένη ἀπὸ τοὺς ἐντοπίους Κουφὴ, ὀφίδιον εἴδους ὄχενδρας. διὰ τοῦτο πρὸς βοήθειαν τῶν χωρικῶν διὰ παρακινήσεως τινῶν Φιλανθρώπων συμπατρίων, ἔκλεξα τινὰ θεραπευτικὰ τὰ πλέον δοκιμασμένα ἀπὸ ἐκλεκτοὺς ἰατροὺς, τὰ ὁποῖα εἶναι καὶ πρόχειρα, καὶ εὔκολα, καὶ γνωστὰ εἰς ὅλους. καὶ ἀρκετὰ νὰ ἐλευθερώσουν τὸν δαγκασθέντα ἀπὸ τὸν κίνδυνον τοῦ θανάτου, ὅταν τὰ μεταχειρισθῇ καθὼς γράφω.

Οἱ πλέον ἐξαίρετοι ἰατροὶ καὶ μάλιστα ὁ Ἰατροφιλόσοφος Κύριος Φέληξ φοντάνας κατὰ τὸ παρὸν εἰς τὴν Φιορέντζαν, γράφει εἰς τὴν Πραγματείαν του περὶ φαρμάκου ἐχίδνης traitte fur le venin de la Vipere. Πῶς τὸ φαρμάκι τῆς ἔχιδνας ἢ τῆς Κουφῆς, ἐὰν λάβῃ καιρὸν ὡς ἕξη λεπτὰ τῆς ὥρας, διαπερνᾷ εἰς ὅλον τὸ αἷμα τοῦ ζώου, καὶ τοῦ προξενεῖ κίνδυνον. ὁ αὐτὸς ἔκαμε πολλὰς δοκιμὰς εἰς ζῶα καὶ πουλλία, βάλλωντας νὰ τὰ δαγκάσουν ἡ ὄχενδρες, καὶ ἐμεταχειρίσθη πολλὰς ἰατρείας, ἀλλὰ δὲν ηὗρε κανένα ἀντιφάρμακον βέβαιον, ἔξω ἀπὸ τὸ Κάτωθεν βοήθημα.

Παρευθὺς ὁποῦ δαγκασθῇ ἄνθρωπος ἢ ζῶον ἀπὸ τὴν Κουφὴν ἢ καὶ ἀπὸ ἄλλον ὀφίδι, νὰ δέσῃ τὸ μέλος ἀπάνω ἀπὸ τὴν δαγκαμαδιὰν ὀλίγον σφικτά. νὰ βράσῃ λάδι, ἂν ἔχῃ ἕτοιμον, καλὰ, καὶ νὰ βαπτίσῃ μέσα τὸ δαγκαμμένον μέλος, νὰ τὸ κρατῇ εἰς τὸ ζεστὸν λάδι καὶ ἑπτὰ καὶ ὀκτὼ ὥραις. ὕστερα ἂς ἀπολύσῃ τὸ δέσιμον, καὶ ἂν δὲν εἶναι λάδι, ἂς εἶναι καὶ μοναχὸν νερὸν καγχλαστὸν ἢ καὶ μὲ ἄλας πολὺ, καὶ ἂς δοκιμάζῃ διὰ νὰ ξεράσῃ, ἂν εἶναι δυνατὸν πίνωντας τίποτε ξεραστικόν.

Εἰς τόπον ὁποῦ δὲν δένεται νὰ χαράξῃ τὴν πληγὴν, ἂς βάλῃ ἀσβέστην ἄσβυστον εἰς τὴν δαγκαμαδιὰν, ἢ ἂς βάλῃ βεντοῦζες, ἤγουν καζία μὲ φλόγαν πολλὴν, σχίζωντας πρῶτον γύρωθεν τὴν πληγὴν, διὰ νὰ τρέξῃ αἷμα πολὺ, μὲ τὸ ὁποῖον εὐγένει καὶ τὸ φαρμάκι, ἂς βάλῃ καὶ μίαν καὶ δύω φοραῖς τὰ καζία. Ἂς σχίσῃ ζωντανὴν ὄρνιθαν ἢ γαττόπουλα ἢ σκυλλόπουλα εὐθὺς ὁποῦ δαγκασθῇ καὶ ἂς τηλίξῃ

τὴν πληγὴν καὶ τοῦτο ἂς κάμη πολλαῖς φοραῖς, ἔτζη θερμὸν τὸ ζῶον τραβᾷ τὸ φαρμάκιν ἔξω.

Ὁ Καμφρὲ ἰατρὸς λέγει, ἀφ' οὗ δέση τὸ μέλος, νὰ χαράξῃ γύρωθεν τὴν πληγὴν μὲ ξυράφι νὰ ἀποσφύγξῃ νὰ εὐγάλῃ αἷμα πολύ, νὰ βάλῃ ἔμπλάστριν ἀπὸ θηριακὴν, καὶ νὰ τὸ μεταλλάσῃ συχνὰ, καὶ νὰ πίνῃ καὶ θηριακὴν ἀναλυμένην εἰς τὸ νερὸν πολλαῖς φοραῖς.

Εἰς μέρος ὁποῦ δὲν δένεται, πρέπει μὲ σίδερον πυρωμένον νὰ κάψῃ καλὰ τὴν πληγήν.

Εἰς τὰ δάκτυλα ὁποῦ δὲν ἐμβαίνουν καζία, ἂς τὸ δέσῃ ὡς ἄνωθεν, καὶ ἂς βάλῃ ἀβδέλλαις, νὰ ταῖς ἀφήσῃ ἕως νὰ πέσουν μοναχαῖς των, καὶ πάλιν ἂς βάλῃ ἄλλαις. καὶ ἡ ρακὴ μὲ θηριακὴν κάμνωντας ἐμπλάστριν, ὠφελῇ πολλά.

Ἡ κοπρία τοῦ γηδιοῦ μὲ ξίδι δυνατὸν, μὲ πίσσαν καὶ θειάφι, κάμνωντάς του ἔμπλαστρον ὠφελεῖ, συχνὰ μεταλλάσσοντάς το.

Ἡ σκυλλοκρομίδα ψημένη, καὶ κουπανισμένη μὲ ξίδι καὶ μέλιν ἔτζη ζεστὴ ὠφελεῖ θαυμασίως.

Τὰ σκόρδα σύκα καὶ θηριακὴν κουπανισμένα κάμε ἐμπλάστριν. ἢ θέρμανε πήγανον καὶ πίτερα μὲ ξίδι καὶ βάλλε εἰς τὴν πληγὴν πολλάκις.

Λέγουσι τινὲς ἰατροί. ὅτι εἶνε ὠφέλημον εὐθὺς ὁποῦ δαγκασθῇ τινὰς, νὰ πίῃ πολὺ κρασὶ, καὶ νὰ πέσῃ εἰς τὸ τρέξιμον ἕως νὰ ἰδρώσῃ καλὰ, καὶ πάλιν νὰ πίῃ καὶ νὰ τρέχῃ σχεδὸν ὅλην τὴν ἡμέραν, ὕστερα νὰ βάλῃ εἰς τὴν δαγκαμαδιὰν ἢ σκόρδον κουπανισμένον μὲ ξίδι, ἢ θηριακὴν, ἔτζη μὲ τὸ τρέξιμον τὸ φαρμάκι δὲν εὑρίσκει καιρὸν νὰ διαπεράσῃ εἰς τὸ αἷμά του.

Ὁ Διοσκουρίδης λέγει, λάβε ἕνα δράμι πιτύαν τοῦ λαγωοῦ, σμῖξε μὲ τὸ ἀπόζεμα τῆς ἀψινθίας. καὶ δίδε τοῦ δειχθέντος νὰ πίνῃ.

Ὁ Καρδάνος λέγει. ἂς πίνῃ τὸ κάτουρόν του ὁ δαγκαοθεὶς καὶ ὠφελῆται. λάβε θηριακὴν ἑνάμισι δράμι καὶ δύω, Κρασὶ πενῆντα δράμια, σμῖξε καὶ δὸς τοῦ δαγκασθέντος νὰ πίῃ εὐθὺς ὁποῦ δαγκασθῇ, εἶνε πολλὰ ὠφέλημον.

Τινὲς ἔδοσαν τὸ τεντζούχη καὶ ἐξέρασεν ὁ τρωθεὶς τὸ φαρμάκι, καὶ

ἀλείφωντας μὲ αὐτὸ τὴν πληγὴν ἰατρεύθη.

Τὸ φαγὶ τοῦ δαγκαμμένου ἂς εἶναι σκόρδα, καὶ ἀπ' αὐτὰ ἂς βάλλῃ καὶ εἰς τὴν πληγὴν κουπανισμένα.

Λάβε κρομμίδια, καὶ σκόρδα καὶ θηριακὴν καλὴν, προζύμι δράμια τέσσερα, κοπάνισον καὶ σμῖξε καὶ κάμε ἔμπλαστρον.

Καὶ τὸ ἄλειμμα τῆς κουφῆς ἀλειφομένη ἡ πληγὴ, βοηθεῖ πολλά.

Τινὲς ἰατροὶ δίδουσι διὰ βέβαιον, πῶς ὁ δαγκασθεὶς εὐθὺς νὰ σκάψῃ τὴν γῆν καὶ νὰ χώσῃ τὸ βλαμμένον μέλος μέσα, σκεπάζωντας σφικτὰ μὲ τὸ χῶμα τὸ ὁποῖον διὰ πολλὰς ὥρας τραβᾷ ἔξω τὸ φαρμάκι.

Γνῶμαι τῶν ἀρίστων ἰατρῶν διὰ τὸ φαρμάκι.

Ὁ ὁρμὰν λέγει, ὅτι εἰς ὅλα τὰ φαρμακερὰ δαγκάματα, ἤθελε ὠφελήσῃν πολὺ, καταπλάσσοντας μαλακτικὰ καὶ κολλιτικὰ εἰς τὴν πληγὴν, διατὶ ἀνοίγουσιν οἱ πόροι, εὐγένει ἡ φαρμακερὴ ὕλη. ἔτζη οἱ παλαιοὶ ἐμεταχειρίζοντο βάλλοντες ζῶα ἀκόμι ζεστὰ εἰς τὴν πληγὴν, ὡσὰν ὀρνίθια, χοιρίδια σκυλόπουλλα καὶ γαττόπουλλα. ὁ Κέλσος τὰ αὐτά. ἀκόμι καὶ ἀπὸ κρέας ζώου ἔγκαιρα ἐσφαγμένου. ὁ φορέστος ὁμοίως. ἕνα ἀρνὶ, νὰ σχίσῃ νὰ τυλίξῃ ζεστὰ τὴν πληγὴν ἢ ἕνα ὀρνίθιον.

Ὁ Λινδέρος συμβουλεύει νὰ στάξωμεν μίαν σταλαγματίαν πνεῦμα τοῦ θειαφίου ἢ τοῦ βιτριόλου εἰς τὴν πληγήν. ὁ Κέλσος συμβουλεύει. ὁ δαγκασθεὶς νὰ πίῃ πολὺ καὶ καλὸν κρασὶ εὐθὺς, καὶ ὕστερα νὰ προσπαθήσῃ νὰ ἱδρώσῃ, ἢ εἰς λουτρὸν ἢ εἰς πιθάρι θερμασμένον νὰ ἔμβῃ μέσα. ὁ Βεϊλε. πῶς τὸ καύσιμον τῆς πληγῆς μὲ σίδερον πυρωμένον, ἀδυνατίζει πολλὰ τὸ φαρμάκι. ἀλλ' ὁ Μεὰδ μετὰ πολλὰς δοκιμὰς παραγγέλλει μὲ τὸ πάχος τῆς ἔχιδνας ἢ τῆς κουφῆς, τρίφωντας καλὰ τὴν πληγὴν, καταστένει ἀνωφελὲς κάθε ἄλλο ἰατρικόν. καὶ ἂν δὲν ἔχει ἀπὸ τοῦτο ἂς μεταχειρισθῇ τὸ θερμὸν λάδι τρίφωντας τὴν πληγὴν καλὰ καὶ πολλάκις, κάμνει τὸ αὐτὸ ἀποτέλεσμα. Οἱ κυνηγοὶ τῶν ὄχενδρων, ὅταν δαγκασθῶσι, βάλλουσι παχὺ ἢ ἄλειμμα τῆς ὄχενδρας. Ἀλλὰ τὸ λάδι καθὼς ἐδοκιμάσθη εἶναι ἐξ ἴσου ὠφέλημον.

Οἱ ᾿Αμερικάνοι τῆς βιργίνιας ἰατρεύουσι τὸ δάγκαμα τῆς ὀχιᾶς βυζάνοντες τὴν πληγὴν χαράσσωντές την (ἀλλὰ πρῶτον διακλείζουσι τὸ στόματους μὲ λάδι θερμὸν,) μὲ ξυράφι καὶ πλήνωντές την ἢ μὲ ξίδι ἢ μὲ νερόν. ὕστερον δίδουσι ἕνα ἀπόζεμα ἀπὸ μίαν ρίζαν ὁποῦ τὴν λέγουσι σένεκε ράττε σουάκε, ἑνὸς χορταρίου, μὲ τὴν ὁποίαν ξερνᾷ ὁ δαγκασθεὶς, καὶ βάλλουσι καὶ ἀπὸ αὐτὴν μασιμένην εἰς τὴν πληγήν.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ

Περὶ σχηματισμοῦ τῶν Νήσων. Φύλλ. 1
Περὶ τοῦ Πρώτου οἰκιστοῦ καὶ τῶν Ὀνομασιῶν τῆς Νήσου. 5
Περὶ Θέσεως τῆς Νήσου καὶ λοιπῶν. 12
Ὁποῖαι αἱ Παλαιαὶ Πόλεις τῆς Νήσου καὶ ἐκ ποίων οἰκοδομήθησαν. 24
Ποῖα καὶ Ποῦ ἦτον τὰ Καστέλλια τῆς Νήσου. 70
Περὶ τῶν χωρίων χωρὶς τείχη. 73
Πόθεν ἔχουσι τὴν ἀρχήν των οἱ Κύπριοι. 75
Περὶ Ἀρχῆς τῆς Εὐγενείας τῶν Κυπρίων. 80
Περὶ Ἀρχῆς τοῦ Λατινικοῦ Κλήρου καὶ καταστάσεως εἰς τὴν νῆσον, 81
Περὶ τῆς Ἀρχῆς καὶ καταστάσεως τῶν Λατίνων Καλογέρων. 86
Περὶ τῆς καταστάσεως τῶν ἄλλων γενῶν εἰς τὴν Κύπρον. 90
Κεφ. Α'. Περὶ τοῦ μετὰ τὸν κατακλυσμὸν Οἰκισμοῦ τῆς νήσου. 93
Κεφ. Β'. Κυρίευσις τῆς νήσου ὑπὸ Ἀσσυρίων, Ἀργείων, τῶν ὀνομασθέντων Θεῶν μέχρι τοῦ Τρωϊκοῦ πολέμου. 97
Κεφ. Γ'. Ἀρχὴ καὶ κατάστασις τῶν Ἐννέα Βασιλέων, ὑποταγὴ αὐτῶν εἰς Αἰγυπτίους, Πέρσας, Ἀθηναίους, καὶ περὶ τοῦ Εὐαγόρου. 106
Κεφ. Δ'. Ὑποταγὴ τῶν Βασιλίσκων εἰς Ἀλέξανδρον, Πτολεμαῖον, Ἀντίγονον, καὶ πάλιν εἰς Πτολεμαίους, καὶ τέλος αὐτῶν. 123
Κεφ. Ε'. Ὁ Μάρκος Κάτων ὑποτάσσει τὴν Νῆσον εἰς τοὺς Ρωμαίους, καὶ ἀπογυμνοῖ αὐτὴν ἀπὸ τοὺς θησαυροὺς κτ. 131

Κεφ. Ϛ'. Κατοικισμὸς τῆς Νήσου ὑπὸ τῆς ἁγίας Ἑλένης, Δουκῶν διοίκησις. καὶ Περὶ τῆς ἀπὸ τοῦ θείου Κηρύγματος Αὐτονομίας τῆς Κυπρίων Ἐκκλησίας. Φύλλ. 141
Κεφ. Ζ'. Ἐπιδρομαὶ Σαρακηνῶν, Μετοίκησις Κυπρίων εἰς Ἑλλήσποντον, Δουκῶν τινῶν Ἀποστασίαι, καὶ τοῦ Ἰσαακίου Κομνηνοῦ αὐτῆς τυράννου φθορὰ μετὰ τῆς Νήσου 152
Κεφ. Η'. Ἅλωσις τῆς Νήσου ὑπὸ τοῦ τῆς Ἐγκλητέρας Ρικάρδου, πώλησις αὐτῆς εἰς τοὺς Τεμπλάρους, καὶ διωγμὸς αὐτῶν. 169
Κεφ. Θ'. Ἐξαγορὰ τῆς Νήσου ὑπὸ Γουΐδου Λουζινιανοῦ, Ἀλμερίκου, Οὔγου Α'. καὶ Ἐνρίκου Α'. Βασιλεία. 174
Κεφ. Ι'. Ἐπίτροποι κακοὶ τοῦ Ενρίκου, Βασιλεία Οὔγου Β'. καὶ Πιακένιζας Οὔγου δὲ Βρένες Γ'. καὶ Ἰωάννου Α'. 191
Κεφ. ΙΑ'. Ἐνρίκου β'. βασιλεία, ἐξωρία αὐτοῦ ὑπὸ τοῦ ἀδελφοῦ, καὶ πάλιν ἀποκατάστασις αὐτοῦ εἰς τὸ βασίλειον. 203
Κεφ. ΙΒ'. Οὔγου Δ'. Βασιλεία, τοῦ τιμίου Ξύλου κλοπὴ καὶ Εὕρεσις διὰ θαύματος. 220
Κεφ' ΙΓ'. Πέτρου Α'. Βασιλεία, Αὐτοῦ ἀνδραγαθίαι, καὶ Ἐλεωνώρας βασιλίσσης ἄσεμνος ζωὴ, καὶ φόνος Πέτρου. 233
Κεφ. ΙΔ'. Ἁρπαγὴ τῆς διοικήσεως τοῦ ἀδελφοκτόνου Ἰωάννου. Πιετρίνου Βασιλεία, καὶ τῆς Ἀμμοχούστου ὑπὸ τῶν Γενουβέζων μετὰ δόλου κατακυρίευσις. 247
Κεφ. ΙΕ'. Γιάκουμου α'. ἐξαγορὰ ἀπὸ τοὺς Γενουβέζους, καὶ αὐτοῦ Εὐτοιῆς βασιλεία. 289
Κεφ. ΙϚ'. Γιάννου βασιλεία, Αἰχμαλωσία αὐτοῦ καὶ τῆς Νήσου ὑπὸ τοῦ Σουλτάνου τῆς Αιγύπτου. 298

Κεφ. ΙΖ'. Ἰωάννου Β'. Βασιλεία. Καρλόττας θυγατρὸς καὶ Ἀλοϊζίου Σαβόγιας, καὶ Γιάκουμου υἱοῦ Μπαστάρδου μηχαναί. Φύλλ. 308
Κεφ. ΙΗ'. Γιάκουμου Μπαστάρδου κυρίευσις τοῦ βασιλείου. Ἐξωσμὸς Καρλόττας, διωγμὸς Γενουβέζων ἀπὸ τὴν Ἀμμόχουστον, καὶ γάμος αὐτοῦ μετὰ τῆς Αἰκατερίνης Κορνάρου. 332
Κεφ. ΙΘ'. Αἰκατερίνης βασιλεία, καὶ τοῦ βρέφους Γιάκουμου. Φόνος τῶν θείων αὐτῆς, καὶ ἐπιβουλαί. 366
Κεφ. Κ'. Παραίτησις τοῦ βασιλείου ὑπὸ τῆς Αἰκατερίνης εἰς τὴν Γαληνοτάτην Ἀριστοκρατίαν τῶν Ἐνετῶν. 288
Περίληψις τῶν Λουζινιανῶν καὶ τῶν χρόνων ὧν Ἐβασίλευσαν. 395
Ὅσοι Βαρῶνοι, Συντιθέντες τὴν Βουλὴν τῆς Ὑψηλῆς Αὐλῆς. 395
Περὶ τῆς διοικήσεως τῆς Νήσου ὑπὸ τῆς Ἀριστοκρατίας τῶν Ἐνετῶν. 397
Διαίρεσις τῆς Νήσου Ἀρχαιοτάτη καὶ Νεωτέρα. 398
Ἀριθμὸς ζώντων ἐν τῇ Νήσῳ μέχρι Ἁλώσεως αὐτῆς ὑπὸ τῶν Ὀθωμανῶν. 399
Τάξις τῆς διοικήσεως, καὶ Τίτλοι τῶν ἀπὸ Βενετίας Ἐξουσιαστῶν. 399
Εὐγενῶν Οἶκοι Λευκοσίας καὶ Λοιπῶν. 406
Περὶ τῶν Εἰσοδημάτων τῆς Νήσου ἐπὶ τῆς Ἀριστοκρατίας 407
Ἱστορία τοῦ Πολέμου τῆς Λευκοσίας ὑπὸ τῶν Ὀθωμανῶν. 408
Πόλεμος καὶ δυστυχὴς παράδοσις τῆς Ἀμμοχούστου. 434
Τὰ μετὰ τὴν Ἅλωσιν τῆς Νήσου ὑπὸ τῶν Ὀθωμανῶν. 446
Σημείωμα Ἀποστασίας τοῦ Μπεγιατζόγλου. 461

	Φύλλ.
Ὀνόματα Χριστιανῶν ὑπὸ φόρον, καὶ τοῦ λαοῦ νῦν ἀπαρίθμησις.	595
Περὶ ἐνδόξων ὑποκειμένων Κυπρίων ἤτοι Βασιλέων κτ.	496
Περὶ Ἀποστόλων καὶ Ἁγίων Κυπρίων.	514
Περὶ ξένων ἁγίων κατοικησάντων εἰς Κύπρον.	523
Περὶ γυναικῶν ἁγίων ξένων καὶ ἐντοπίων.	525
Περὶ σοφῶν καὶ ἐναρέτων παλαιῶν Ἐπισκόπων Κυπρίων.	527
Ὅσοι Ἐπίσκοποι Κύπριοι εὑρέθησαν εἰς τὰς Οἰκουμενικὰς Συνόδους.	532
Περὶ Τιμίων Ξύλων, ἁγίων λειψάνων, καὶ θαυματουργῶν Εἰκόνων τῆς Θεοτόκου.	534
Περὶ ἀξιομνημονεύτων ὑποκειμένων μετὰ τὴν Ἅλωσιν ὑπὸ τῶν Ὀθωμανῶν.	537
Τὰ Προϊόντα τῆς Νήσου ἤτοι γεννήματα πρῶτον περὶ Ἀνθρώπων.	541
Τοῦ Μακαριωτάτου καὶ Ἀοιδίμου Κυρίου Φιλοθέου Σημειώσεις, καὶ Ἔκθεσις περὶ τῆς Κυπρίων Ἐκκλησίας καὶ τῶν Προνομίων αὐτῆς.	551
Ὁ δοθεὶς Λίβελλος ὑπὸ τῶν Ἀρχιερέων τῆς Κύπρου εἰς τὴν Οἰκουμενικὴν Τρίτην Σύνοδον, ἐξ οὗ Ἐκφωνήθη ὁ Η΄. κανὼν περὶ τῆς Αὐτονομίας.	580
Μητροπόλεις καὶ Ἐπισκοπαὶ τῆς Κύπρου Παλαιαί.	582
Μοναστήρια ὁποῦ σώζονται τὴν σήμερον εἰς τὴν Κύπρον, Ὀρθοδόξων, Λατίνων, καὶ Ἀρμενίων κτ.	587
Περὶ ἀξιοσημειώτων Καταστροφῶν τῆς Νήσου.	588
Κατάλογος τῶν Ἐξουσιασάντων Ἐθνῶν τὴν Νῆσον, καὶ τῶν χρόνων καθ' οὓς ὑπὸ τῆς Δεσποτίας αὐτῶν διήρκεσε μέχρι τοῦ νῦν.	589
Θεραπεῖαι διὰ το δάγκαμα τῆς Κουφῆς ὠφέλιμαι καὶ Πρόχειροι.	594

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΕΝ ΤΩ ΠΑΡΟΝΤΙ ΤΥΠΩ ΣΥΝΔΡΑΜΟΝΤΩΝ ΦΙΛΟΠΑΤΡΙΩΝ

(πρώτης ἐκδόσεως.)

Ὁ Μακαριώτατος καὶ Σεβασμιώτατος Δεσπότης Κύριος Χρύσανθος.

Ὁ Πανιερολογιώτατος Πάφου Κύριος Πανάρετος.

Ὁ Πανιερολογιώτατος Κιτιαίων Κύριος Μελέτιος.

Ὁ Πανιερολογιώτατος Κυρηνείας Κύριος Σωφρόνιος.

Ὁ Πανοσιώτ. ἔξαρχος ἀρχ. Χρύσανθος.

Ὁ Λογιώτ. Ἀρχιδιάκονος Ἰωαννίκιος.

Ὁ Λογιώτ. δευτερεύων Παγκράτιος.

Ὁ Ὁσιώτ. τριτεύων Χρύσανθος.

Ὁ πρώην τριτεύων Κὺρ Παγκράτιος

Ὁ Παρθένιος Μοναχός.

Ὁ Πανοσιώτ. Καθηγούμενος Κύκκου Μελέτιος.

Ὁ Ἀρχιμανδρ. ἁγίου Τάφου Κὺρ Ἄνθιμος.

Ὁ Ἀρχιμανδρ. ἁγίου Κυρην. Κὺρ Εὐγένειος.

Οἱ τῆς Λευκωσίας.

Ὁ Μέγας Οἰκονόμος Λευκωσίας Παπ. Νικόλας.

Ὁ Σακκελλάριος Παπ. Μιχαήλ.

Ὁ Πρωτοσύγγελλος Ἱερομ. Νεκτάριος.

Ὁ Σκευοφύλαξ Παπ. Λεόντιος.

Ὁ Σακκελλίου Παπ. Χριστόδουλος.

Ὁ Πρωτοπαπᾶς Χριστόδουλος.

Ὁ Σύγγελλος Φιλάρετος.

Ὁ Ἱερομνήμων Παπ. Νικόλαος.

Ὁ Παπὰ Κὺρ Ἀναστάσιος.

Ὁ Παπὰ Κὺρ Δαβίδ.

Ὁ Ἱερομ. Κὺρ Νικόδημος.

Ὁ Παπὰ Κὺρ Χριστόδουλος.

Ὁ Ἱεροδιάκων Κὺρ Γερμανός.

Ὁ Ἐντιμώτατος χατζῆ Κὺρ Γεώργιος διερμηνευτὴς Σεραγίου.

Ὁ Τιμιώτατος Κὺρ Πολύδωρος Δραγομάνος τοῦ Κριτοῦ.

Ὁ Λογιώτατος Κὺρ Πετράκης Καρύδης.

Ὁ Κὺρ Δαβὶδ Οἰκονόμου.

Ὁ Κὺρ Σπυρίδων Χ. Χριστοφῆ.

Ὁ Χ. Γεωργῆς Σαμψάρης.

Ὁ Χ. Ἐλευθέριος Μιχαήλ.

Ὁ Χ. Δαβὶδ Κουφοῦδιν.

Ὁ Κὺρ Γεωργάκης Χ. Πγερῆ.

Ὁ Χ. Ἀντωνάκης Χ. Πγερῆ.

Ὁ Χ Σάββας.

Ὁ Χ. Γιαννῆς ἀλ. Πογιατζῆς.

Ὁ Κὺρ Γαβριήλ.

Ὁ Κὺρ Ζαχαρίας Χ. Φραντζέσκου.

Ὁ Χ Μιχαὴλ Πασμαντζῆς.

Ὁ Κὺρ Δημητράκης Παύλου.

Ὁ Κὺρ Γιαννάκης Οἰκονόμου.

Ὁ Κὺρ Γιαννάκης Λιπέρτης.

Ὁ Χ. Γιαννῆς Χ. Μάρκου.

Ὁ Κὺρ Λογιζῆς Κρασοῦδι.

Ο Χ. Πγερῆς 'Αντωνίου.
'Ο Κὺρ Πατίστας Σολομοῦ.
'Ο Κὺρ Μουράτης Χ. 'Ιωσήφ.
'Ο Κὺρ Μαρκάκης Χριστοδούλου.
'Ο Χ. 'Αντζουλῆς Χρυσοχός.
'Ο Κὺρ Νικόλαος Νικολάου.
'Ο Κὺρ Μιχαὴλ Χ. 'Ιωάννου.
'Ο Χ. 'Αλεξανδρής.
'Ο Κὺρ Βραχύμης Κουφοῦδιν.
'Ο Κὺρ 'Ιωσὴφ Δημητρίου.
'Ο Χ. Γιαννὴς Ράπτης.
'Ο Χ. Γιαννὴς Χ. Μιχαήλ,
'Ο Χ. Σταμάτης.
'Ο Χ. 'Αργυρὸς Πογιατζῆς.
'Ο Χ. 'Ελευθέρης Περιβολάρης.
'Ο Κὺρ Λογιζῆς Πογιατζῆς.
'Ο Κὺρ Χριστοδουλῆς 'Ιωάννου.
'Ο Κὺρ 'Ιωάννης Χ. Σπυρίδωνος.
'Ο Χ. Σάββας Σίλιαλης,
'Ο Ş. 'Αρετήνης 'Οβάκκη Δραγομάνος.
'Ο Ş. Σαρκίζης 'Οβάκκη Δραγομάνος.

Οἱ τῆς Λάρνακος.

'Ο Πρωτοσύγγελος Κύριλλος.
'Ο Σκευοφύλαξ Χριστοφόρος.
'Ο Ş. 'Ιερώνυμος Καρύδης, Δραγομάνος.
'Ο Ş. Γιαννάκης Μπινεδούτζης.
'Ο Ş. Πιεράκης Κουρέλλα, Δραγομάνος.
'Ο Ş. Χ. Κυριάκος Δραγομάνος.
'Ο Ş. Τζηκκίνης Χ. Κυριακοῦ.
'Ο Ş. Κωνσταντῖνος Τάνος.

'Ο Κὺρ Ζαχαρίας Σαλλούμη.
'Ο Κὺρ Συμεὼν 'Ηλιάσι.
'Ο Κὺρ 'Ελευθέριος Βριόνη.
'Ο Χ. Λογιζῆς Παύλου.
'Ο Έξαρχος 'Ιερόθεος.
'Ο 'Ιερομόναχος Κύριλλος.
'Ο Ş. Γεωργάκης 'Ελευθερίου.
'Ο Ş. Μικέλλης 'Ιωάννου Δραγομάνος.
'Ο Ş. Φραντζέσκος Βάρδας, Δραγομάνος.
'Ο Ş. Κωνσταντῖνος Περιστιάνος.
'Ο Ş. Γαβριὴλ Ζαχαρίου.
'Ο Ş. 'Ονούφριος.
'Ο Ş. Μιχαὴλ Παύλου.
'Ο Χ. Τζένιος Νικολάου.
'Ο Κὺρ Ζαχαρίας 'Αντωνίου.
'Ο Κὺρ Χάννας Γεωργίου.

Οἱ τῆς Λεμεσοῦ.

'Ο Οἰκονόμος Παπ. 'Ιωάννης.
'Ο Ş. Κωνσταντῖνος Χ. Σολομοῦ.
'Ο Ş. Χαράλαμπος Δημητρίου.
'Ο Χ. Φίλιππος Λογίζου.
'Ο Ş. Δημήτριος Γιασηνόγλου.
'Ο Κὺρ Δημήτριος Χ. 'Ιωάννου.
'Ο Κὺρ Γεώργιος Χ. Σολομοῦ.
'Ο Κὺρ Πγερῆς ἐκ Πελευτρίων.
'Ο Οἰκονόμος Κολοσίου Παπ. Βασίλειος.
'Ο Ş. Χ. Νικόλαος Δημητρίου.
'Ο . Χ. Δαβίδ.
'Ο Κὺρ 'Ιωάννης Κτώρου.
'Ο Κὺρ Γεώργιος Γιωνούζη.
'Ο Κὺρ Γεώργιος Μαρκουλῆ.

Ὁ Χ. Θεοδόσιος Νικολάου.

Ὁ Πανοσιώτ. Ἡγούμενος Μοναστ. Χρυσορρογιατίσσης Χρύσανθος ἐξάδελφος.

Ὁ Κὺρ Ἀντώνιος ἐξ Ἐπισκοπῆς θεῖος πρὸς Πατρός.

Ὁ Χ. Νικολὸς. καὶ Χ. Ζαχαρίας Παπ. Ἠλίας ἐξάδελφοι, ἐκ Κοιλανίου.

Εἰς Κωνσταντινούπολιν.

Ὁ Πανιερολογιώτατος ἅγιος Νικομηδείας Κύριος Γεράσιμος Ἐξάδελφος.

Ὁ Θεοφιλέστατος Ἑλενουπόλεως Κὺρ Ἄνθιμος Ἐξανεψιός.

Ἐν Βενετίᾳ.

Ὁ Ἐλλογιμώτατος Διδάσκαλος τοῦ Φλαγγινιανοῦ Φροντιστηρίου τῶν Γραικῶν Κὺρ Ἀγάπιος Λουβέρδος ἐκ Κεφαληνίας.

Ὁ Πανοσιολογιώτατος Κύριος Ἰουστῖνος Βισσανούσκης Ρῶσσος, Ἐφημέριος τοῦ ἐν Ἐνετίαις Ἐξοχωτάτου Πρέσβεως τῆς Αὐτοκρατορίσσης πασῶν τῶν Ρωσσιῶν.

Ὁ Ἐντιμώτατος ἐν πραγματευταῖς Κὺρ Ἰωάννης Λάζαρος ἐξ Ἰωαννίνων.

Ὁ Ἐντιμώτατος ἐν πραγματευταῖς Κὺρ Γεώργιος Κονταξῆς, ἐξ Ἰωαννίνων.

NOI RIFORMATORI

Dello Studio di Padova.

AVendo veduto per la Fede di Revisone, ed Approvazione del Pubblico Revisor Dottor Natal dalle Laste. nel Libro intitolato La Storia dell' Isola di Cipro, scritta in Greco. M. S. non v'esser cosa alcuna contra la Santa Fede Cattolica, e parimente per Attestato del Segretario Nostro, niente contro Principi, e buoni costumi, concediamo Licenza a Nicolò Glichi Stampator di Venezia, che possi essere stampato, osservando gli ordini in materia di Stampe, e presentando le solite Copie alle Pubbliche Librarie di Venezia, e di Padova.

Data li 13 Ottobre 1788.

(Girolamo Ascanio Giustinian Kav. Riformator.

(Zacaria Vallaresso Ris.

(Francesco Pesaro Kav. Proc. Riform.

Registrato in Libro a Carte 272. al Num. 2557.

Marcantonio Sanfermo Seg.

Adì 2. Decembre 1788.

Reg. a C. 150· nel Libro del Mag. Eccel. contro la Bestem.

Antonio Peruzzo Segr.

ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ
(τῆς ἀνὰ χεῖρας ἐκδόσεως.)

ΕΠΑΡΧΙΑ ΛΕΥΚΩΣΙΑΣ

Λευκωσία.

Ἰωακεὶμ Ἀρχιδιάκονος Ἀρχιεπισκοπῆς.
F. C. Heidestam Ἀρχίατρος.
Ἀντώνιος Θεοδότου ἰατρός.
Ἀριστόδημος Φοινεὺς ἰατρός.
Χρῆστος Σταυρινάκης ἰατρός.
Κωνσταντῖνος Μυριάνθης ἰατρός.
Νικόλαος Γ. Ἰακωβίδης ἰατρός.
Φαρμακεῖον ὁ «Ἱπποκράτης.»
Ἀχιλλεὺς Κυριακίδης δικηγόρος.
Θεοφάνης Θεοδότου δικηγόρος.
Δημοσθένης Σεβέρης δικηγόρος.
Ἰωάννης Ἐπαινετὸς δικηγόρος.
Γεώργιος Σιακαλλῆς δικηγόρος.
Μ. Σεβασλῆς δικηγόρος.
Ἀγαθάγ. Παπαδόπουλος δικηγόρος.
Θωμᾶς Παντελίδης.
Κωνσταντῖνος Σ. Λοϊζίδης.
Νικόλαος Λοϊζίδης.
Χριστόδουλος Σκουταρίδης.
Ἰωάννης Εὐαγγελίδης.
Χρύσανθος Εὐαγγελίδης.
Χριστόδουλος Γεωργιάδης.
Ἀνώνυμος.
Σοφοκλῆς Μαγκανῆς.
Κατάστημα Μ. Λουκαΐδου.
Νικόλαος Βιτάλης.
Χ" Στυλιανὸς Νάταρ.
Σ. Καρουάνας.
Ἀθηνᾶ Κ. Διανέλλου.
Ἰωσὴφ Μουράτ.
Φίλιππος Νικολαΐδης.
Σ. Νικολαΐδης.
Λουκᾶς Νικολαΐδης.
Μιχαὴλ Θεοδοσιάδης.
Μιχαὴλ Κακουλλῆς.
Γεώργιος Κακουλλῆς.
Γεώργιος Νεοφυτίδης.
Κῦρος Νεοφυτίδης.
Ἰωάννης Μ. Ταλλιαδῶρος.
Μιλτιάδης Εὐθυμιάδης.
Μενέλαος Μαρκίδης καθηγητής.
Wilfred Collet.
Jeacques Zirigovich.
Γεώργιος Ε. Χριστοδουλίδης.
Κ. Δραγομᾶνος.
Παναγιώτης Α. Παναγίδης.
Κωνσταντῖνος Σαμουήλ.
Τηλέμαχος Σαριπόγλου.
Εὐτύχιος Κωνσταντινίδης.
Μιχαὴλ Κωνσταντινίδης.
Κωνσταντῖνος Μιχαηλίδης.
Χρ. Γ. Ρῶσσος.
Κ. Γ. Ρῶσσος.
Ἰωάννης Ν. Τουφεξῆς.
Θεόδουλος Ν. Τουφεξῆς.
Κωνσταντῖνος Γιαννάκης.
Ἀχιλλεὺς Πετρίδης.
Εὐέλθων Τελεβάντος.
Νικόλαος Κυπριανοῦ.
Δημ. Ν. Ρῶσσος.

Εὐρυδίκη Σκουταρίδου.
Ἰωάννης Θεοχαρίδης.
Χριστόδουλος Τσιγαρίδης.
Γεώργιος Ἐλευθεριάδης.
Κυριάκος Χ. Σταυριδίδης.
Σοφοκλῆς Ἠλιασίδης.
Στυλιανὸς Μ. Παπαπέτρου.
Ἰ. Χ. Κοιτός.
